BIONIS ET MOSCHI

CARMINA

E

CODICIBUS ITALIS A SE COLLATIS

EDIDIT

CHRISTOPHORUS ZIEGLER.

TUBINGAE,
IN LIBRARIA H. LAUPP.
1868.

Bion

BIONIS ET MOSCHI

CARMINA.

BIONIS ET MOSCHI

CARMINA

EX

CODICIBUS ITALIS A SE COLLATIS

EDIDIT

CHRISTOPHORUS ZIEGLER.

TUBINGAE,
IN LIBRARIA H. LAUPP.
1868.

LIPSIAE: TYPIS B. G. TEUBNERI.

PRAEFATIO.

En, lector benevole, tertium mei secundi itineris italici fructum. Dices fortasse me parum sequi illud Horatianum: nonum prematur in annum. Et recte hoc dices, modo ne existimes me lucri alicuius aut gloriolae cupidum tria opuscula per breve quatuordecim mensium spatium edidisse. Nam tale quid a me abest longissime. Imo vero nolui quae in Italia collegeram diu in scriniis retinere, ne certi quidam errores longius propagarentur utque ii, qui in Graecorum poetis bucolicis versantur, haberent quo quasi firmo fundamento in factitanda arte critica niterentur.

Codices, quos annis 1864. et 65. cum Ahrensii editione a me collatos recognoscendo Bioni et Moscho adhibui, sunt hi:

Vaticanus nr. 915. (m.)[1]) bombyc. saec. XIII. Mosch. II.

Vaticanus nr. 913. (h.) bombyc. saec. XIII. Mosch. III.

Vaticanus nr. 1311. (11.) chart. saec. XV. ex libris Ursini. Bion. I. II. Mosch. I. III, 1— fin. (11.^{a}), 35— fin. (11.^{b}) IV, 1—13.

Vaticanus nr. 1379. (18.) chart. saec. XV. ex libris Ursini. Bion. I. II. Mosch. III. IV.

Mediceus nr. 37. (p.) bombyc. saec. XIV. Mosch. III.

Mediceus nr. 16. (ṡ.) bombyc. saec. XIV. Mosch. I—IV.

---

[1]) Sigla sunt maximam partem aut Gaisfordiana aut Ahrensiana. — Vaticanos 915. 913. 1311. 1379., Mediceos 37. 16. 43. 15., Ambrosianum 75. accuratius descripsi in Praefatione ad Theocritum.

Mediceus nr. 43. (r.) chart. saec. XV. Bion I. Mosch. I—IV.

Mediceus nr. 15. (w.) chart. saec. XV. Mosch. III, 1—15. IV.

Ambrosianus nr. 99. (f.) bombyc. saec. XIII. Mosch. II. Praeterea insunt: Sallustii Platonici libellus de Diis. Simmiae Securis et Ala cum explicatione Holoboli. Syrinx. Odyssea, I—XXI, 134.

Ambrosianus nr. 75. (c.) membr. saec. XV. Bion. I. II. Mosch. II. III. IV.

Venetus nr. 522. (n.) ex bibliotheca Bessarionis, membr. saec. XV. Mosch. II. Praeterea continentur eo: Dionys. Hal. *Περὶ τοῦ χαρακτῆρος λυσίου τοῦ ῥήτορος. Λυσίου τοῦ ῥήτορος λόγοι. Γοργίου τοῦ ῥήτορος ἑλένης ἐγκώμιον. Ἀλκίδαμας περὶ σοφιστῶν. Ἀντισθένους λόγοι. Δημάδου ὑπὲρ τῆς δωδεκαετίας. Λυσίου ἐπιτάφιος. Ἱστορία ἀγαθίου. Ἀποφθέγματα φιλοσόφων.* Plura vacua folia. *Περὶ στρατηγικῶν ὀνομάτων τε καὶ τάξεων, ἀδέσποτον,* cum picturis. Plura vacua folia. Theognis. *Φωκυλλίδου γνωμικαὶ ὡραῖαι. Πυθαγορικὰ ἔπη.* Musaei Hero et Leander. Syrinx. Longinus *περὶ ὕψους.* — Europa, quae legitur ante Musaeum, videtur e Vaticano 915. descripta esse; nam ubi ille codex est evanidus, hic est lacunosus.

Venetus nr. 456. (Bs.) ex bibliotheca Bessarionis, membr. saec. XV. Mosch. I. Antecedunt Ilias. Q. Smyrnaeus. Odyssea. Hymni. — Batrach. finitur liber.

Codices Stobaei.

a. Florilegii.

Mediceus nr. 11. (Medic.) chart.

Venetus nr. 29. (Venet.) membr. Summa est eius cum Mediceo similitudo. Ubi ambo inter se consentiunt, solum nominavi Mediceum.

Regius nr. 146. in Vaticana, (Reg.) chart. Pag. 1.ª leguntur disticha latina et graeca,[1]) quibus Lascaris „Galeoto, mirae

---

[1]) *Ἄνθεα μουσοπόλων καρποὺς ἀρετῶν προφέροντα*
λασκάρεως, φίλε παῖ, δέχνυσ' ὑποσχεσίην.
Τῶν δ' ἐνὶ συγκομιδῇ τέρψιν καὶ κῦδος ἄροιο,
παιζόντων ὀλοῆς τέρψιος οὐ χατέων.

indolis adolescentulo", codicem dono dedit; pag. 1.[b] Ἰάνου λασκάρεως ῥυνδακηνοῦ, et ab alia manu: παρεκβολαὶ τῶν ἠθικῶν τοῦ στοβαίου ἐκλογῶν, infra: Alexander, Pauli filius, Petavius, Senator Parisiensis, 1657.

b. Eclogarum.

Vaticanus nr. 201. (Vat.) chart. Cfr. Heerenium.

Nonnullis locis attuli Vaticanum nr. 1463. chart. Mosch. I., Urbinatem nr. 140. (in Vaticana) chart. Mosch. III., Mutinensem nr. 146. chart. Mosch. I—IV.

Antiquarum editionum mihi ad manus fuerunt Junt. Call. Trinc. Gesn. (1549.) Urs. (Carmina novem illustrium feminarum, 1568.)

In constituendo textu easdem, quas in Theocrito, secutus sum rationes. Codicibus quae tradita essent hic quoque, quantum posset fieri, servanda putavi, imprimis in Epitaphiis,[1]) in quibus nescio an nonnulli versus eiiciendo, transponendo, lacunas statuendo ultra, quam fas erat, progressi sint.

Stuttgardiae mense Februario anni MDCCCLXVIII.

Chr. Ziegler.

---

[1]) Conferantur Buechelerus: Jahrbücher für cl. Philologie, 1863., p. 106—113.; Peiperus: ibidem, p. 617—623. et p. 762—766.; Stierius: De Bionis et Moschi Epitaphiis, 1864.; Langius: Eos. 1865., p. 204—223.; Carolus Hartung: Quaestiones Moscheae, 1865.; Theodorus Fritzsche: Programm der Domschule zu Güstrow, 1867.

ΒΙΩΝΟΣ

ΤΟΥ ΣΜΥΡΝΑΙΟΥ

ΕΙΔΥΛΛΙΑ.

ΕΠΙΤΑΦΙΟΣ ΑΔΩΝΙΔΟΣ.

Α΄.

Αἰάζω τὸν Ἄδωνιν· ἀπώλετο καλὸς Ἄδωνις.
ὤλετο καλὸς Ἄδωνις, ἐπαιάζουσιν Ἔρωτες.
μηκέτι πορφυρέοις ἐνὶ φάρεσι Κύπρι κάθευδε·
ἔγρεο δειλαία κυανόστολε καὶ πλατάγησον
στήθεα καὶ λέγε πᾶσιν· ἀπώλετο καλὸς Ἄδωνις.
αἰάζω τὸν Ἄδωνιν· ἐπαιάζουσιν Ἔρωτες.
κεῖται καλὸς Ἄδωνις ἐν ὤρεσι μηρὸν ὀδόντι,
λευκὸν μηρὸν ὀδόντι τυπείς, καὶ Κύπριν ἀνιῇ
λεπτὸν ἀποψύχων· τὸ δέ οἱ μέλαν εἴβεται αἷμα
χιονέας κατὰ σαρκός, ὑπ᾽ ὀφρύσι δ᾽ ὄμματα ναρκῇ,
καὶ τὸ ῥόδον φεύγει τῶ χείλεος· ἀμφὶ δὲ τήνῳ
θνάσκει καὶ τὸ φίλημα, τὸ μηκέτι Κύπρις ἀποίσει.
[Κύπριδι μὲν τὸ φίλαμα καὶ οὐ ζώοντος ἀρέσκει,
ἀλλ᾽ οὐκ οἶδεν Ἄδωνις, ὅ μιν θνάσκοντ᾽ ἐφίλασεν.]

I. Libri: Vat. 1311. (11.) Vat. 1379. (18.) Medic. 43. (r.) Ambros. 75. (c.)

Ἐπιτάφιος Ἀδώνιδος] r. vulg., praefixo *Θεοκρίτου* Iunt., *Θεοκρ*^{ου} in marg a sec. r. *ἀδώνιδος ἐπιτάφιος* 11. *Θεοκρ. ἀδώνιδος ἐπιτάφιος δωρίδι* 18. *Θεοκρ. δορίδι. ἀδώνιδος ἐπιτάφιος* c.

1. *Αἴαζ᾽ ὦ* et hic et v. 6. 15. 67. Ahrens.

4. *κυανόστολε*] Vulc. *κυανοστόλε* vulg.

5. *στάθεα* Steph. contra libros.

6. Post hunc versum Herm. unius vs. lacunam indicavit.

7. *ἐν*] Ameis. *ἐπ᾽* vulg.

8. *λευκὸν μηρὸν*] Herm. *λευκῷ λευκὸν* vulg. — *ὀδόντα* 18. c., *α* super *ι* 11. — *ἀνιῇ*] Ameis. *ἀνιῇ* 18. c. *ἀνιεῖ* 11. Ald.$^{\alpha.}$ *ἀνιᾶ* r. Ald.$^{\beta.}$ Iunt. Call., *α* super *ει* 11.

10. *ἐπ᾽* r. Ald.$^{\alpha.\ \beta.}$ Iunt. — *ναρκεῖ* Ald.$^{\alpha.}$ Call.

11. *τῶ* superscr. *ου* 18. — *χείλεος*] r. c. Ald.$^{\beta.}$ Iunt. *χείλευς* 11. 18. Ald.$^{\alpha.}$ Call.

12. *καὶ* om. 11. — *φίλημα*] r. Antt. *φίλαμα* vulg. — *μηκέτι*] coni. Meineck. *μήποτε* vulg. — *ἀποίσει*] 11. 18. r. c. Ald.$^{\alpha.\ \beta.}$ Iunt. *ἀφήσει* Call. *μήποτε — ἀνοίσει* Ahrens.

13. 14. Hos versus — prior deest in c. — reiecit Ahrens. in marginem. — *φίλημα* Mor. — *ζώοντες* 11. *ζώοντες ἄρεσκεν* Ald.$^{\alpha.}$ — *εἶδεν* r. Ald.$^{\alpha.\ \beta.}$ Iunt. — *νιν* Ameis. — *θνήσκοντ᾽* c.

αἰάζω τὸν Ἄδωνιν· ἐπαιάζουσιν Ἔρωτες.
ἄγριον ἄγριον ἕλκος ἔχει κατὰ μηρὸν Ἄδωνις·
μεῖζον δ' ἁ Κυθέρεια φέρει ποτικάρδιον ἕλκος.
κεῖνον μὲν πέρι πολλὰ φίλοι κύνες ὠρύονται,
καὶ Νύμφαι κλαίουσιν ὀρειάδες· ἁ δ' Ἀφροδίτα
λυσαμένα πλοκαμῖδας ἀνὰ δρυμὼς ἀλάληται
πενθαλέα νήπλεκτος ἀσάνδαλος, αἱ δὲ βάτοι νιν
ἐρχομέναν κείρουσι καὶ ἱερὸν αἷμα δρέπονται·
ὀξὺ δὲ κωκύοισα δι' ἄγκεα μακρὰ φορεῖται,
Ἀσσύριον βοόωσα πόσιν καὶ πολλὰ καλεῦσα.
ἀμφὶ δέ μιν μέλαν αἷμα παρ' ὀμφαλὸν ᾐωρεῖτο,
στήθεα δ' ἐκ μηρῶν φοινίσσετο, οἱ δ' ὑπὸ μαζοί
χιόνεοι τὸ πάροιθεν Ἀδώνιδι πορφύροντο.
αἰαῖ τὰν Κυθέρειαν, ἐπαιάζουσιν Ἔρωτες.
ὤλεσε τὸν καλὸν ἄνδρα, συνώλεσεν ἱερὸν εἶδος.
Κύπριδι μὲν καλὸν εἶδος, ὅτε ζώεσκεν Ἄδωνις·
κάτθανε δ' ἁ μορφὰ σὺν Ἀδώνιδι. τὰν Κύπριν αἰαῖ

16. ἄδωνιν r.

17. ποτὶ κάρδιον 18. pr. c. ποτικάρδιον 18. corr.

18. τῆνον Herm. cum Brunckio. — πέρι πολλὰ] Herm. περιπολλὰ Ahrens. περὶ παῖδα vulg. — ὠρύονται] Herm. ὠρύσαντο Call. ὠδύραντο 18. r. Ald.$^{\beta}$ Iunt. ὀδύραντο 11. c. Ald.$^{\alpha}$

19. ὀριάδες 11. Ald.$^{\alpha}$ — ἃδ' ἀφροδίτη c.

20. πλοκαμίδας 11. 18. c. Ald.$^{\alpha}$ — δρυμὼς] 18. r. c. Ald.$^{\beta}$ δρυμοὺς 11. Ald.$^{\alpha}$ Iunt. Call. — ἀλάληται] Iunt. Call. ἀλάλεται c. ἀλαλεῖται 11. 18. r. Ald.$^{\alpha. \beta.}$

21. νήπεκτος Brunck. νήπεπλος Herm. e coni. Bergkii. νήπαστος Ahrens.

22. κείρουσι] 11. 18. κείρουσιν c. κείροντι r. Ald.$^{\alpha. \beta.}$ Iunt. τείροντι Call.

23. κωκύοισα] Brunck. κωκύουσα vulg. — ἄγκεα] r. Ald.$^{\beta}$ ἄγγκεα 18. inducto κ. ἄγγεα 11. c. Ald.$^{\alpha}$ Iunt. Call. — φέρεται 11. φέρηται Ald.$^{\alpha}$

24. ἀσσύτερον Hart. — βοῶσα c. — ποσὶ 11. Ald.$^{\alpha}$ — πολλὰ] Herm. πόδα 11. παῖδα vulg. — Post hunc vs. adiecit Herm. αἰαῖ τὰν Κυθέρειαν· ἐπαιάζουσιν Ἔρωτες, tum statuit lacunam sex versuum.

25—27. νιν Ameis. — ᾐωρεῖτο] 18. c. Mor. vulg. ἠωρεῖτο 11. r. Antt. αἰωρεῖτο r. a sec. supra. — στήθεα] 18. c. στάθεα 11. r. Antt. — ὑπὸ μαζοί] Ameis. ὕπο μαζοί Briggs. ὑπομαζοί 11. 18. r. c. ὑπόμαζοι vulg. τὰ τῶν μαζῶν κάτω μέρη. ὑπομάζιον θηλάζον παίδιον r. in marg. — τοπάροιθεν 11. Call. — πορφύραντο Ald.$^{\alpha}$ — Ahrens. scripsit coll. Nonn. Dion. V, 374 et 405. aliisque eiusdem poetae locis: ἀμφὶ δέ μιν μέλαν εἷμα παρ' ὀμφαλὸν αἰωρεῖται,| στήθεα δ' ἐκ χειρῶν φοινίσσεται, οἱ δ' ὑπὸ μαζοί | χιόνεοι τὸ πάροιθεν Ἀδώνιδι πορφύρονται. — Pro χειρῶν maluit Rossbach. πληγῶν, pro πάροιθεν Buecheler. πάροιθ' ἐπ'.

28. αἰαῖ] Meinek. αἶ αἶ vulg., et sic porro.

30. ὅτι r. Ald.$^{\alpha. \beta.}$ Iunt.

31. γ' ἁ c. δ' ἄμορφα 11. — τὰν Κύπριν] 11. Ald.$^{\alpha}$ Κύπριδος vulg.

ὤρεα πάντα λέγοντι καὶ αἱ δρύες αἰαῖ Ἄδωνιν,
καὶ ποταμοὶ κλαίουσι τὰ πένθεα τᾶς Ἀφροδίτας,
καὶ παγαὶ τὸν Ἄδωνιν ἐν ὤρεσι δακρύοντι,
ἄνθεα δ' ἐξ ὀδύνας ἐρυθραίνεται· ἁ δὲ Κυθήρη
πάντας ἀνὰ κναμώς, ἀνὰ πᾶν νάπος οἰκτρὸν ἀντεῖ.
αἰαῖ τὰν Κυθέρειαν, ἀπώλετο καλὸς Ἄδωνις.
Ἀχὼ δ' ἀντεβόασεν, ἀπώλετο καλὸς Ἄδωνις.
Κύπριδος αἰνὸν ἔρωτα τίς οὐκ ἔκλαυσεν ἂν αἰαῖ;
ὡς ἴδεν, ὡς ἐνόησεν Ἀδώνιδος ἄσχετον ἕλκος,
ὡς ἴδε φοίνιον αἷμα μαραινομένῳ περὶ μηρῷ,
πάχεας ἀμπετάσασα κινύρετο· μεῖνον Ἄδωνι,
δύςποτμε μεῖνον Ἄδωνι, πανύστατον ὥς σε κιχείω,
ὥς σε περιπτύξω καὶ χείλεα χείλεσι μίξω.
ἔγρεο τυτθὸν Ἄδωνι, τὸ δ' αὖ πύματόν με φίλησον.

— Distinctio debetur Divo; nulla est in 11. Ald. $^{α.}$ Iunt., punctum post *Κύπριδος* in Ald. $^{β.}$, in f. v. in Call. et vulg.

32. *ὤρια* 11. 18. c. — *αἰαῖ*] Ahrens. *αἶ τὸν* vulg. *αἶ τὸν* 11. r. *αὐτὸν* c. *αἶ δ. αἶ τὸν* Herm.

33. *κλαίουσι*] 11. 18. r. c. Antt. *κλαίοντι* Brunck. — *τῆς ἀφροδίτης* 18.

34. *ὤρεσι*] Steph. *ὄρεσι* 11. *οὔρεσι* 18. r. c. Antt.

35. *ἐρυθραίνεται*] 11. 18. pr. r. c. Ald. $^{α. β.}$ Call. *ἐρυθαίνεται* 18. corr. Iunt. *ῥυσαίνεται* Herm. — *Κυθήρη*] 11. 18. r. c. Antt. *Κυθήρα* Valck. *Διώνα* vel Adiectivum aliquod suspicatur Buecheler. Forma *Κυθήρη* posterioris aetatis est. — Ahrens. versum damnavit.

36. *ἀνακναμῶσ'* 11. 18. c. Ald. $^{α.}$ — *ἀνὰ πᾶν νάπος οἰκτρὸν ἀντεῖ*] *ἀνὰ π. ν.* Wakefield. *οἰκτρὸν ἀντεῖ* Luzac. *πᾶν ἂν νάπος οἰκτρὸν ἀντεῖ* Herm. *ἀνάπαλιν ἀποσοικτρὰν ἀείδη* 11. *ἀνάπαλιν ἀποικτρὸν ἀείδη* 18. *ἀνάπαλιν ἀποικτρὸν ἀείδειν* c. *ἀνάπαλιν ἀπὸ .... ἀείδει* Ald. $^{α.}$ *καὶ ἀνὰ πτόλιν οἰκτρὸν ἀείδει* r. Ald. $^{β.}$ Iunt. Call.

37. *αἶ τὰν* a pr., *αἶ αἶ τὰν* a sec. 18. *αἶ αἶ τὰν νότον ἀπ* — 11.

38. *ἀντεβόασε* c. *ἀντεβόησεν* Ald. $^{α.}$ Iunt., in 11. videtur *α* in *η* correctum esse. — Versus in 18. a sec. margini adscriptus est. Ahrens., qui in constituendo toto hoc loco liberius versatus est, eum eiecit, Herm. transposuit post v. 36.

39. *αἰνὸν* cum *γρ. καλ"* 11. — *ἔρωτά τις* r. — *ἂν* om. 11. Ald. $^{α.}$ *ἄρ'* Ahrens. *αἰαῖ ἀνέκλαυσεν* Herm. — Versum recte distinxit Ameis. Vulgo in f. v. punctum est et ante *αἶ αἶ* signum interrogationis, ubi in Call. comma, in Ald. $^{α. β.}$ Iunt. nulla distinctio.

41. *μαραινομένω — μηρῶ* r. Iunt. Call. — *μένω — μηρώ* 11.

42. 43. *παχέας* Ald. $^{α.}$ et cum *η* super *πα* 11. *πάχεε δ'* Herm. — In Ald. $^{α. β.}$ colon et post *Ἄδωνι* et post *δύσποτμε*, in 11. r. Iunt. Call. post solum *δύσποτμε*, cuius loco Div. vulg. comma habent. Recte Winsemio praeeunte in Crisp. distinctum.

44. *περισμήξω* Ald. $^{β.}$ In r. deletum est et superscriptum *γρ. περιπτύξω.* — *καὶ* repetitur post *χείλεα* in 11.

45. 46. *φίλησον* bis] Ahrens. *φίλασον* vulg. *φίλασσον — φὶλασσον* 11. — *ζώει*] Call. *ζώη* 11. 18. r. c. Ald. $^{β.}$ Iunt. *ξώη* Ald. $^{α.}$ — *φίλημα*] Ahrens. *—αμα* vulg.

τοσσοῦτόν με φίλησον, ὅσον ζώει τὸ φίλημα,
ἄχρις ἀπὸ ψυχᾶς ἐς ἐμὸν στόμα κεὶς ἐμὸν ἧπαρ
πνεῦμα τεὸν ῥεύσῃ, τὸ δέ σευ γλυκὺ φίλτρον ἀμέλξω,
ἐκ δὲ πίω τὸν ἔρωτα· φίλημα δὲ τοῦτο φυλάξω
ὡς σ' αὐτὸν τὸν Ἄδωνιν, ἐπεὶ σύ με δύσμορε φεύγεις,
φεύγεις μακρὸν Ἄδωνι, καὶ ἔρχεαι εἰς Ἀχέροντα
πὰρ στυγνὸν βασιλῆα καὶ ἄγριον· ἁ δὲ τάλαινα
ζώω καὶ θεὸς ἐμμί, καὶ οὐ δύναμαί σε διώκειν.
λάμβανε Περσεφόνα τὸν ἐμὸν πόσιν· ἐσσὶ γὰρ αὐτά
πολλὸν ἐμεῦ κρέσσων, τὸ δὲ πᾶν καλὸν ἐς σὲ καταρρεῖ.
εἰμὶ δ' ἐγὼ πανάποτμος, ἔχω δ' ἀκόρεστον ἀνίαν,
καὶ κλαίω τὸν Ἄδωνιν, ὅ μοί θάνε, καὶ σεσόβημαι.
θνάσκεις ὦ τριπόθητε, πόθος δέ μοι ὡς ὄναρ ἔπτη.
χήρα δ' ἁ Κυθέρεια, κενοὶ δ' ἀνὰ δώματ' Ἔρωτες.
σοὶ δ' ἅμα κεστὸς ὄλωλε. τί γὰρ τολμηρὲ κυνάγεις;
καλὸς ἐὼν τί τοσοῦτον ἐμήναο θηρὶ παλαίειν;
ὧδ' ὀλοφύρατο Κύπρις· ἐπαιάζουσιν Ἔρωτες

47. ψυχᾶς] Brunck. ψυχῆς vulg. ἀποψύχης 11. c. et e corr. 18., pr. ἀπὸ ψυχῆς. — κῦσ' 11. Ald. α. β. In r. videbatur mihi κυσ correctum esse in κεῖσ.

48. σέθεν Herm. — ῥεύσῃ 11. Iunt. ῥεύσει 18. r. c. Ald. α. β. Call. — δέ σευ] Urs. δὲ σεῦ vulg.

49. φίλημα] Ahrens. —αμα vulg.

50. ὡς σ'] c. ὧς σ' aut ὡς σ' (potest ambigi) 18. ὧς 11. ὡς Iunt. Call. εἰς r. Ald. α. β. — τὸν om. 11. — Ἄδωνιν — μακρὸν om. r. — Post φεύγεις vulg. colon vel punctum. Mutavit Wint. praeeuntibus Eob. Hess. et Wins.

52. πὰρ] coni. Ameis. καὶ vulg. — ἁδ' ἁ τάλαινα 11. ἅδ' ἁ τ. Ald. α.

54. ἔμπας pro αὐτά Herm.

55. κρέσσων] 11. 18. c. κρείσσων r. Antt. — πᾶν καλὸν] Iunt. Call. πάγκαλον 11. 18. r. c. Ald. α. β. — ἐσ'σε c. ἐσσὲ 11. – καταρρεῖ] Steph. mg. Urs. καὶ ἄρρει 11. 18. c. Ald. α. καὶ ἄρη Ald. β. Iunt. Call. ναι ἄρη (addito rubrica ἔσεται) r.

56. ἐμμὶ Brunck. — ἀνίαν] Brunck. ἀνίην vulg.

57. καὶ σεσόβημαι] Bergk. καὶ σὲ φοβεῦμαι r. vulg. καὶ σε φ. 11. c. καί σε φ. 18.

58. τριπόθητε] Ahrens. τριπόθατε vulg. τριπόθα c. — ἔλθη c., in marg. ἔπτη.

59. χήρα] Meinek. χήρηα c. χήρη vulg. χήρῃ r. Ald. β. — κυθέρῆα 11. κυθέρα Ald. α. Κυθέρῃα constanter scripsit Ahrens. — κᾶνοὶ 11. καινοὶ corr. in κενοὶ 18. κανοὶ Ald. α. — δῶμα 11. 18. Ald. α. — Versus in 18. a sec. margini adscriptus est.

60. κυνάγεις c. τολμαρὲ κυναγεῖς; Ahrens.

61. τί τοσοῦτον] coni. Koechly. τοσοῦτον 11. c. τοσσοῦτον vulg. — ἐμήναο] ἐμῄναο coni. Brunck. ἔμηνας 11. 18. r. Ald. α. β. ἔμῃνας c. Iunt. ἔμεινας Call. — θηρὶ] 11. θῆρι (super ι ∸) 18. θῆρα c. θηρσὶ r. Antt.

62. ὧδ' r. Call. — ἐπαιάζεσκον Herm. puncto post Ἔρωτες posito. ἐπαῦτησαν suspicatur Ahrens.

αἰαῖ τὰν Κυθέρειαν, ἀπώλετο καλὸς Ἄδωνις.
δάκρυον ἁ Παφίη τόσσον χέει, ὅσσον Ἄδωνις
αἷμα χέει· τὰ δὲ πάντα ποτὶ χθονὶ γίνεται ἄνθη.
αἷμα ῥόδον τίκτει, τὰ δὲ δάκρυα τὰν ἀνεμώναν.
αἰάζω τὸν Ἄδωνιν· ἀπώλετο καλὸς Ἄδωνις.
μηκέτ' ἐνὶ δρυμοῖσι τὸν ἀνέρα μύρεο Κύπρι.
οὐκ ἀγαθὰ στιβάς ἐστιν Ἀδώνιδι, φυλλὰς ἐρήμα·
λέκτρον ἔχοι Κυθέρεια τὸ σὸν νῦν νεκρὸς Ἄδωνις.
καὶ νέκυς ὢν καλός ἐστι, καλὸς νέκυς οἷα καθεύδων.
κάτθεό νιν μαλακοῖς ἐνὶ φάρεσιν οἷς ἐνίαυεν,
οἷς μετὰ σεῦ ἀνὰ νύκτα τὸν ἱερὸν ὕπνον ἐμίχθη,
παγχρύσῳ κλιντῆρι· ποθεῖ καὶ στυγνὸν Ἄδωνιν.
βάλλε δέ νιν στεφάνοισι καὶ ἄνθεσι· πάντα σὺν αὐτῷ,
ὡς τῆνος τέθνακε, καὶ ἄνθεα πάντ' ἐμαράνθη.
ῥαῖνε δέ μιν Συρίοισιν ἀλείφασι, ῥαῖνε μύροισιν.

64. *δάκρυα δ'* Ahrens. — *ἁ Παφίη*] 18. r. c. Ald.$^{\beta.}$ Iunt. Call. *ἀπαφύη* 11. Ald.$^{\alpha.}$ — *τόσσον χέει*] Valck. e sententia Dorvillii. *τόσσον ἐγχέει* 11. r. c. Ald.$^{\beta.}$ Iunt. *τόσσον ἐγχέη* Ald.$^{\alpha.}$ *τόσον ἐγχέει* 18. Call. *τόσον ἐκχέει* Heins. *τόσσ' ἐκχέει* Ahrens. — *ὅσον* 11.

65. *πακτὰ* Herm. e coni. Valck. — *γίνεται*] 11. c. *γίγνεται* vulg.

66. *τὴν* 18. c. — In 18. hic versus legitur post vs. 68., sed praefixis litteris *βγα* iustus ordo restitutus est. — Ahrens. vs. 64—66. ut spurios eiecit.

67. *ἔρωτα*, in marg. *ἄδωνιν* c. — Herm. versum delevit.

68. *δρυμοῖς τεὸν* Iunt. — *μήρεο* 11. Ald.$^{\alpha. \beta.}$

69. *οὐκ ἀγαθὰ στιβάς ἐστιν*] Ahrens. *ἔστ' ἀ. στ., ἔστιν* vulg. — *στιβάς ἐστὶν* r. *στιβὰς ἐστὶν* c. *ἔσθ' ἁπαλὰ στιβάς, ἔστιν* Herm. e coni. Luzac. — *στιβὰς* pro *φυλλὰς* Ald.$^{\alpha.}$ Call. — *ἐρήμα*] 11. 18. r. Ald.$^{\alpha. \beta.}$ Iunt. *ἐρήμη* c. *ἑτοίμα* ut Call. Herm.

70. *λέκτον* 11. Ald.$^{\alpha.}$ — *ἔχοι*] coni. Valck. *ἔχει* vulg. *ἔχ' ἓν* Iunt. Herm. — *τόσσον* 11. Ald.$^{\alpha.}$ — *νῦν*] *νῦν δὲ* 11. Ald.$^{\alpha.}$ *τὺ δὲ* 18. r. pr. Ald.$^{\beta.}$ *σὺ δὲ* r. corr. c. *τὸ δὲ* Iunt. Call. *τόδε* Mor. — *ἄδωνι* 18. c.

71. *καλός ἐσσι* r. Ald.$^{\beta.}$ *καλός ἔσσι* 18. *καλὸς ἐσσὶ* c. — Herm. post *τόδε* lacunam statuens: *σὺ δὲ νεκρὸς Ἄδωνι | καὶ νέκυς ὢν καλός ἐσσι.* — *καλὸν νέκυς* 18.

72. *κάτθεό νιν*] 11. 18. *κάτθεο νῦν* c. *κάτθεο καὶ* r. Antt. — *μαλακοῖσιν* c. — *φάρεσιν οἷς*] Steph. *φάρεσιν οἷ* 11. 18. pr. r. c. Ald.$^{\alpha. \beta.}$ Iunt. *φάρεσίν οἷ* 18. sec. Call. *φάρεσιν εὖ* Ahrens. — *ἐνίαυεν*] Steph. *ενιαύεν* r. *ἐνιαύεν* Ald.$^{\beta.}$ Iunt. Ahrens. *ἐνιαῦεν* 11. 18. c. Ald.$^{\alpha.}$ Call.

73. *οἷς*] Wakefield. Herm. *τοῖς* vulg. — *ἐμίχθη*] coni. I. H. Voss. *ἐμόχθει* vulg.

74. *ποθεῖ*] 11. r. Ald.$^{\alpha. \beta.}$ *πόθει* 18. c. Iunt. Call. — *τὸν* pro *καὶ* 18. c. — *ποθεῖ δὲ στυγνὸς* Herm.

75. 76. *δέ νιν*] coni. Wassenberg. *δ' ἐνὶ* vulg. — Verba *καὶ* — *τέθνακε* om. 18. *ἄνθεσι* — *καὶ* om. c. — *ταῦτ'* pro *πάντ'* Ahrens. — Herm. indicavit post *τέθνακε* lacunam. Quin codicum scriptura vitiosa sit, non est dubium.

77. *νιν* Ameis. — *Συρίοισιν*] Ruhnken. *μύροισιν* 11. Ald.$^{\alpha.}$ Call. *μύρ-*

ὀλλύσθω μύρα πάντα· τὸ σὸν μύρον ὤλετ' Ἄδωνις.
κέκλιται ἁβρὸς Ἄδωνις ἐν εἵμασι πορφυρέοισιν·
ἀμφὶ δέ μιν κλαίοντες ἀναστενάχουσιν Ἔρωτες
κειράμενοι χαίτας ἐπ' Ἀδώνιδι· χὼ μὲν ὀιστώς,
ὃς δ' ἐπὶ τόξον ἔβαιν', ὃς δ' εὔπτερον ἆγε φαρέτραν,
χὼ μὲν ἔλυσε πέδιλον Ἀδώνιδος, ὃς δὲ λέβητι
χρυσείῳ ἐφόρησεν ὕδωρ, ὁ δὲ μηρὸν ἔλουεν,
ὃς δ' ὄπιθεν πτερύγεσσιν ἀνέψυχεν τὸν Ἄδωνιν.
αἰαῖ τὰν Κυθέρειαν, ἐπαιάζουσιν Ἔρωτες.
ἔσβεσε λαμπάδα πᾶσαν ἐπὶ φλιαῖς Ὑμέναιος,
καὶ στέφος ἐξεπάτασσε γαμήλιον. οὐκέτι δ' Ὑμήν,
Ὑμὴν οὐκέτ' ἄειδε, νέον μέλος ᾄδεται αἰαῖ.

τοισιν Iunt. καλοῖσιν 18. r. c. Ald.$^{\beta}$ — ἀλίφασι (ει superscr.) 11. ἀλίφασι Ald.$^{\alpha}$ — μύροισιν] 18. Call. μύροισσιν Iunt. μύρεσσιν Ald.$^{\alpha}$ μύροισι (ε superscr.) 11. μύροισι vulg. — Etiam post hunc vs. indicavit Herm. lacunam.

78. ὀλύσθω μῦρα et μῦρον 11. Ald.$^{\alpha}$ — ὤλετ' (θ superscr.) 11. — ἄδωνιν r. — Post hunc vs. inseruit Ahrens. αἴαζ' ὦ — Ἔρωτες.

79. πορφυρέοισι c.

80. νιν Ameis.

81. χαῖτας c. — χὼ] vulg. χ' ὠ 11. 18. r. c. Iunt. Call. — ὀΐστός 11. c. Ald.$^{\alpha}$

82. ὅσσ' c. — ἔκαιν' Iunt. ἔπι τ. ἔκλινεν Herm. — ὃς δ' εὔπτερον ἄγε] reliqui vulgatam, quae fluxit ex r. Ald.$^{\beta}$ Call. ὃς δ' εὔπτερον αὔγε 18. ὡς εὐπτέρον αὔγε c. ὅς δ' ἔπτερον ὃς δὲ 11. ὅς δ' ἔπταιρον ὃς δὲ Ald.$^{\alpha}$ ὃς δὲ πτέρον ὃς δὲ Iunt. ὃς δ' εὔπτερον ἆξε Meinek. ὃ δ' εὔπτερον ἅπτε Herm. ὃς δ' ἐπτέρυσσε Ahrens. — φαρέτραν] φαρέτρην 11. 18. r. c. Antt.

83. 84. χὼ] vulg. χ' ὠ 11. 18. r. c. Iunt. Call. — πέδιλλον 18. — οἱ δὲ Graef. — λέβητι | χρυσείῳ] Iunt. λέβητος χρυσίη 11. Ald.$^{\alpha}$ λέβησι χρυσίοις 18. λέβησι χρυσείοις r. c. Ald.$^{\beta}$ Call. λέβητ' ἐς κρωσσοῖσιν Ahrens. — ἐφόρησεν] Buecheler. φορέησιν r. Ald.$^{\beta}$ Call. φορέησι Iunt. φορίησιν 11. Ald.$^{\alpha}$ φορέοισιν 18. c. Ahrens. Meinek. φορέουσιν Graef. Herm. — ὁ δὲ] 11. 18. r. c. vulg. — μηρὸν ἔλουεν] Buecheler. μηρία λούει c. vulg. μυρία λ. 18. r. μηρία λύει 11. Ald.$^{\alpha}$ Iunt. μηρὸν ἰαίνει Ahrens.

85. ἀνέψυχεν] ἀναψύχει vulg. Poetam metro non coactum modo singulari modo plurali, modo tempore praesenti modo praeterito usum esse mihi non persuadeo. — Post hunc vs. addidit Ahrens. αἴαζ' ὦ — Ἔρωτες et deinceps indicavit unius strophae lacunam.

86. αἰαῖ] Ameis. αἲ αἲ Lennep. αὐτὰν vulg.

87. φιαῖς 11. φναῖς Ald.$^{\alpha}$ ἐπὶ .. φιαῖς 18. Ald.$^{\beta}$ ἐπὶ .. φιοῖς c. ἐπὶ Δυφιαῖς r., Δυ a sec. et in marg. δυφιὲς τὸ δύο φύσεις ἔχον. — ὑμεναῖος Call. ὑμεναίοις 11. r. c. Ald.$^{\alpha.\beta.}$ ὑμενα' 18.

88. ἐξεπάτασσε] Meinek. ἐξεπάταξε Wassenberg. ἐξεπέτασσε vulg. ἐξεκέδασσε Piers. — καμήλιον superscr. γ 18. c., prior in marg. νυμφικόν. — οὐκ ἔτι 11. 18. r. — δ' Ὑμήν] Ahrens. ὑμὴν in marg. 18. δ' ὑμὰν r. Ald.$^{\beta}$ Iunt. Call. δοίμαν 11. 18. c. Ald.$^{\alpha}$

89. Ὑμὴν] Ahrens. ὗμη^{ν} (ν a sec.) 18. ὗμη Ald.$^{\alpha}$ ὗμε· c. ὗμ relicto spatio 11. ὑμὰν r. Ald.$^{\beta}$ Iunt. Call.

αἰαῖ καὶ τὸν Ἄδωνιν ἔτι πλέον ἢ Ὑμέναιον
αἱ Χάριτες κλαίοντι τὸν υἱέα τῶ Κινύραο,
ὤλετο καλὸς Ἄδωνις ἐν ἀλλήλαισι λέγοισαι.
αἰαῖ δ' ὀξὺ λέγοντι πολὺ πλέον ἢ Παιῶνα
αἱ Μοῖσαι τὸν Ἄδωνιν, ἀνακλείουσι δ' Ἄδωνιν,
καί μιν ἐπαείδουσιν· ὁ δέ σφισιν οὐκ ἐπακούει.
οὐ μὰν οὐκ ἐθέλει, Κώρα δέ μιν οὐκ ἀπολύει.
λῆγε γόων Κυθέρεια, τὸ σάμερον ἴσχεο κομμῶν.
δεῖ σε πάλιν κλαῦσαι, πάλιν εἰς ἔτος ἄλλο δακρῦσαι.

ὃ μὴ in marg. 11. — *οὐκ ἔτ'* 18. c. — *ἄειδε, νέον*] Buecheler. *ἄειδε· μόνον* Ameis. Herm. *ἄειδεν ἑὸν* Ahrens. e coni. Köchlyi. *ἄειδον νέον* 11. *ἀειδονέος* c. *ἀηδονέος* 18. *ἀειδομέος* Ald. α. *ἀειδόμενον* r. Ald. β. Iunt. Call. — *ἄδεται αἰαῖ*] Meinek. *ἄδεται αἶ αἴ* Call. *ἄλλεται αἶ αἴ* 11. 18. c. *ἄλλεται αἶ αἴ* r. Ald. α. β. Iunt. *ἀλλ' ἐπαείδει* Ahrens.

90. *ἢ Ὑμέναιον*] Ahrens. *αἶ ὑμέναιον* 11. 18. r. c. Antt. *ἢ Ὑμέναιος* Valck. e coni. Higtii. — In f. vs. habet Ahrens. punctum.

91. *τῶ* superscr. *ου* 18. *τὸν* Vulc.

92. *ἀλλήλαισι*] c. *ἀλλήλοισι* Urs. *ἀλλάλαισι* Herm. Ahrens. *ἀλλήλῃσι* vulg. — Post hunc vs. supplevit Herm. *αἰαὶ τὰν Κ. — Ἔρωτες.*

93. *αἰαῖ*] Piers. *αὐταὶ* vulg. — *δ' ὀξὺ λέγοντι*] r. corr. Call. *δοξολέγοντι* 18. r. pr. Ald. β. *δεξολέγοντι* 11. Ald. α. *δόξολέγοντι* c. *δέξο λέγοντι* Iunt. *αὐταὶ δ' ὀξύτονόν τι* Herm. — *ἢ Παιῶνα*] Ahrens. *ἢ τὺ Διώνα* vulg.

94. *αἱ*] Buecheler. *καὶ* vulg. *ταὶ* Graef. Herm. *χαἰ* Meinek. — *Μοῖσαι*] Vulc. *μοῖραι* 11. 18. r. c. Antt. — *ἀνακλείουσι δ'*] *ἀνακλείοισι δ'* Ahrens. *ἀνακλαίοισιν* 11. *ἀνακλαίουσιν* r. c. Antt. In 18. in textu *ἀνακλέοισξ* (superscr. *υ*) inductum est, in marg. legitur *ἀνακλαίοινσιν* (superscr. *αι*), corr. in *ἀνακλαίοισι.*

95. *ἐπαείδουσι* c. *ἀνακλαίουσιν, Ἄδωνι | πάρμεν' ἐπαείδοισαι* Herm. — *ὁ*] 11. r. c. vulg. *ὃ* 18. — *δέ σφισιν*] 18. a sec. (*σφιν* superscr. *σι*) Ald. β. Iunt. Call. *δέ σφιν* 11. 18. pr. r. c. Ald. α. — *ἐπακούειν* r.

96. *κόρα* 18. — *νιν* Ameis. — *ἀπολήγει* c., in marg. *λύει.*

97. *τὸ σάμερον*] Herm. *τὸ σήμερον* r. *τοσήμερον* vulg. — *κομμῶν*] Casp. Barth. *κώμων* 11. 18. r. c. Antt. *ὧδε κλαυθμῶν* r. supra. — Ahrens. commate distinxit post *σάμερον.*

98. *δεῖ σε* (superscr. *αι*) 11. — *ἄλλο* om. 18. — *δακρύσαι* 18. *δάκρυσαι* Ald. α. *ἀλλοδακρυσαι* c. — In r. legitur post *δακρῦσαι*: *βουκολίσκος*, sed deletum rubrica. Tum sequuntur vs. 66. et 67. e Theocr. XXI. (*ἐλπὶς τῶν ὕπνων ζατεῖ — καὶ τοι χρυσοῖσιν ὀνείροις.*) inducti atramento. Deinde *μεγάρα.*

ΕΠΙΘΑΛΑΜΙΟΣ ΑΧΙΛΛΕΩΣ ΚΑΙ ΔΗΙΔΑΜΕΙΑΣ.

Β'. [ΙΕ'.]

ΜΥΡΣΩΝ.

Λῇς νύ τί μοι Λυκίδα Σικελὸν μέλος ἁδὺ λιγαίνειν,
ἱμερόεν γλυκύθυμον ἐρωτικόν, οἷον ὁ Κύκλωψ
ἄεισεν Πολύφαμος ἐπ' ᾐόνι τᾷ Γαλατείᾳ;

ΛΥΚΙΔΑΣ.

κἠμοὶ συρίσδεν Μύρσων φίλον· ἀλλὰ τί μέλψω;

ΜΥΡΣΩΝ.

Σκύριον ὦ Λυκίδα ζατῶ μέλος, ἁδὺν ἔρωτα,
λάθρια Πηλείδαο φιλήματα, λάθριον εὐνάν.
πῶς παῖς ἕσσατο φᾶρος, ὅπως δ' ἐψεύσατο μορφάν,
χὤπως ἐν κώραις Λυκομηδίσιν ἀπαλέγοισαι
ἀηδήνηα τὰ παστὸν Ἀχιλλέα Δηιδάμεια.

ΛΥΚΙΔΑΣ.

ἅρπασε τὰν Ἑλέναν πόθ' ὁ βουκόλος, ἆγε δ' ἐς Ἴδαν,
Οἰνώνῃ κακὸν ἄλγος· ἐχώσατο δ' ἁ Λακεδαίμων,
πάντα δὲ λαὸν ἄγειρεν Ἀχαϊκόν, οὐδέ τις Ἕλλην,
οὔτε Μυκηναίων οὔτ' Ἤλιδος οὔτε Λακώνων,
μεῖνεν ἑὸν κατὰ δῶμα φυγὼν δύστανον Ἄρηα.

II. Libri: Vat. 1311. (11.) Vat. 1379. (18.) Ambros. 75. (c.)
Ἐπιθαλάμιος Ἀχιλλέως καὶ Δηιδαμείας] praefixo *τοῦ αὐτοῦ* (i. e. *Βίωνος*) Urs. *ἐπιθαλάμιος ἀ. κ. δ.* 11. *Θεοκρίτου ἐπιθαλάμιος ἀ. κ. δ.* 18. *Θεοκρ. ἐπιθαλάμιον ἀ. κ. δ.* c. — In c. personae non indicatae.

1. *λῇς* 11. 18. c. Urs. — *σικελικὸν* 11.

3. *ἄεισε* 11. — *ᾐόνι τᾷ*] Ahrens. *ᾀόνι τᾷ* Brunck. *ἠιόνι* 11. *ἠϊόνι* 18. c. vulg.

4. *κἠμοὶ*] Brunck. *κῆν μοι* 11. 18. c. *κὴν μοι* Urs. — *συρίσδων* c.

5. *ὦ*] Lennep. om. 11. 18. c. vulg. — *ζατῶ μέλος*] Herm. *ζαλῶ μέλος* Lennep. *ζαλῶν μέλος* Urs. *ζαλῶν μένος* 11. 18. c. — *ἁδὺν*] Urs. *ἁδὺς* 11. 18. c. *ὃν Λ. ζαλώμενος ἄδες* Ahrens.

6. *λαθρία* 11. c. *λάθρια* e corr. 18. — *φιλήματα*] *φιλάματα* vulg.

7. *ἕσσατο*] 18. Steph. *ἕσατο* 11. *ἔσσατο* c. Urs. — *φᾶρος*] Steph. *φάρος* 11. 18. c. Urs. *πῶς πεδαμεύσατο φ.* Herm. — *ὅπως*] Canter. *ὅκως* 11. 18. c. vulg. *ὁμῶς* Ahrens. — *δ' ἐψεύσατο*] Canter. *δ' ἐγεύσατο* 11. c. Urs. *δὲ ἐγεύσατο* 18.

8. 9. *χὤπως*] *χ' ὤπως* Urs. *κῆν ὅπως* 11. 18. *κῆν ὅπος* c. — In iis, quae sequuntur, reliqui cum Meinekio scripturam, quae est in 18., nisi quod hic *ἀπαλέγοισα*. *ἀπαλέγοισα αηδηνηα τὸν* (corr. in *τὰ*) *παστὸν* c. *ὅπα ἀπαλέγοισαι ἀει δήνηα τὰ παστὸν* 11. *ἀπαλέγοισα ἀηδήνη τ' ἀπαστὸν* vulg. Coniecturarum abunde.

10. *βουκόλος*] Ahrens. *βωκ*— vulg. — *ἄγε* 11. 18. c. Urs.

11. *δ' ἁ*] Heskin. *ἁ* 18. c. vulg. om. 11.

13. *μηκυναίων* 18.

14. *φυγὼν*] Herm. *φέρων* vulg. *φέρῶν* 18. — *δύστανον Ἄρηα*] Bent-

λάνθανε δ' ἐν κώραις Λυκομηδίσι μοῦνος Ἀχιλλεύς,
εἴρια δ' ἀνθ' ὅπλων ἐδιδάσκετο, καὶ χερὶ λευκᾷ
παρθενικὸν κόρον εἶχεν, ἐφαίνετο δ' ἠύτε κώρα·
καὶ γὰρ ἴσον τήναις θηλύνετο, καὶ τόσον ἄνθος
χιονέαις πόρφυρε παρηίσι, καὶ τὸ βάδισμα
παρθενικῆς ἐβάδιζε, κόμας δ' ἐπύκαζε καλύπτρῃ,
θυμὸν δ' ἀνέρος εἶχε, καὶ ἀνέρος εἶχεν ἔρωτα.
ἐξ ἀοῦς δ' ἐπὶ νύκτα παρίζετο Δηιδαμείᾳ,
καὶ ποτὲ μὲν τήνας ἐφίλει χέρα, πολλάκι δ' αὐτᾶς
στάμονα καλὸν ἄειρε, τὰ δ' ἀδέα δείκαν' ἐπῄνει,
ἠσθεὶς οὐκ ἄλλᾳ συνομάλικι, πάντα δ' ἐποίει
σπεύδων κοινὸν ἐς ὕπνον. ἔλεξέ νυ καὶ λόγον αὐτᾷ·
ἄλλαι μὲν κνώσσουσι σὺν ἀλλήλαισιν ἀδελφαί,
αὐτὰρ ἐγὼ μούνα, μούνα δὲ σὺ νύμφα καθεύδεις.
αἱ δύο παρθενικαὶ συνομάλικες, αἱ δύο καλαί
ἁμὰ μόναι κατὰ λέκτρα καθεύδομες· ἁ δὲ πονηρά
Νύσα γραῦς δολία με κακῶς ἀπὸ σεῖο μερίσδει.
οὐ γὰρ ἐγὼ σέο . . . . . .

lei. *δυσὶν ἀγνόν ἄρνα* 11. *δισσι ἀνὰν ἄρνα* c. *δισσὶν ἀνὰν ἄρνα* 18. vulg.

15. *μόνος* 18.

17. *κόρον εἶχεν*] 11. 18. Urs. *χορὸν εἶχε* c. *παρθενικὰν κρόκ' ἀνεῖχεν* Herm. „Latet sine dubio aliud". Meinck.

18. *ἴσως* c.

19. *χιονέαι* c. *χρονέαις* superscr. *ιο* 18. — *παρηίσι*] Salmas. *παρειίσι* 18. corr. *παρειῆσι* 18. pr. *παρειῆσι* 11. *παρειῆσιν* c. *παρειῆς* Urs.

20. *παρθενικᾶς* Brunck. — *ἐπυκάζετο* 11. Idem *καλύπτρῃ*. *καλύπτρᾳ* Brunck.

21. *ἀνέρος* priore loco] Lennep. *Ἄρεος* vulg.

22. *παρίζετο*] Canter. *μαρίζετο* Urs. *μερίζετο* 11. 18. c. — *δηιδάμεια* 11. c.

23. *τήνας*] 11. 18. *τῆνας* c. *κείνας* Urs. — *χέρας* c. — *πολλάκις* 11.

24. *στάμονα*] Scaliger. *στόμ' ἀνὰ* vulg. — *τάδ'* 18. c. *καὶ* Herm. — *δείκαν'*] Herm. *δάκρυ'* vulg.

25. *ἠσθεὶς*] Herm. *ἤσθιε δ'* vulg. — *οὐ* c. — *συνομάλικι*] 11. 18. c. *σὺν ὁμάλικι* vulg.

26. *αὐτᾷ*] Urs. *αὐτάν* 11. 18. c.

27. *ἀλληλέεσσιν* 11. *ἀλλάλαισιν* Herm.

28. *μουνα* 11. *μοῦνα* c. — *μούνα δὲ σὺ*] Herm. *μούνα σὺ δὲ* Lennep. *μίμνω, σὺ δὲ* vulg.

29. *αἱ δύο παρθενικαὶ*] Salmas. et Heskin. *αἱ δ' ὑποπαρθενικαὶ* Urs. *αἳ δ' ὑποπαρθενικαὶ* 18. *αἳ δ' ὑπὸ παρθ*— 11. c. — In f. v. vulg. punctum. Delevit Ahrens. *οὐ δύο* — *οὐ δύο καλαί*; Herm.

30. *ἁμὰ*] Ahrens. *ἀλλὰ* vulg. — *κατὰ*] Scaliger. *καὶ* vulg.

31. *Νύσα*] Herm. *νύσσα* vulg. — *γραῦς*] Briggs. *γὰρ* vulg. om. 11. — *ἄπο* 11. *ἀπό σειο* c.

32. In 11. post *σέο* dimidia pag. vacua, in 18. tertia fere pars, in c. dimidia et una pag., *λείπει* in marg. 18. *λείπει τὸ τέλος* Urs.

Γ΄. [ϛ΄.]

ΚΛΕΟΔΑΜΟΣ.

Εἴαρος ὦ Μύρσων ἦ χείματος ἢ φθινοπώρω
ἢ θέρεος τί τοι ἀδύ; τί δὲ πλέον εὔχεαι ἐλθεῖν;
ἢ θέρος, ἁνίκα πάντα τελείεται ἅσσα μογεῦμες;
ἢ γλυκερὸν φθινόπωρον, ὅτ' ἀνδράσι λιμὸς ἐλαφρά;
ἢ καὶ χεῖμα δύσεργον; ἐπεὶ καὶ χείματι πολλοί
θαλπόμενοι θέλγονται ἀεργείᾳ τε καὶ ὄκνῳ.
ἤ τοι καλὸν ἔαρ πλέον εὔαδεν; εἰπέ, τί τοι φρήν
αἱρεῖται; λαλέειν γὰρ ἐπέτραπεν ἁ σχολὰ ἁμῖν.

ΜΥΡΣΩΝ.

κρίνειν οὐκ ἐπέοικε θεήια ἔργα βροτοῖσι·
πάντα γὰρ ἱερὰ ταῦτα καὶ ἁδέα· σεῦ δὲ ἕκατι
ἐξερέω Κλεόδαμε, τό μοι πέλεν ἅδιον ἄλλων.
οὐκ ἐθέλω θέρος ἦμεν, ἐπεὶ τόκα μ' ἅλιος ὀπτῇ.
οὐκ ἐθέλω φθινόπωρον, ἐπεὶ νόσον ὥρια τίκτει.
οὖλον χεῖμα φέρον νιφετὸν κρυμώς τε φοβεῦμαι.
εἶαρ ἐμοὶ τριπόθητον ὅλῳ λυκάβαντι παρείη,
ἁνίκα μήτε κρύος μήθ' ἅλιος ἄμμε βαρύνει.
εἴαρι πάντα κύει, πάντ' εἴαρος ἁδέα βλαστεῖ,
χἀ νὺξ ἀνθρώποισιν ἴσα καὶ ὁμοίιος ἀώς.

Δ΄. [Β΄.]

Ἰξευτὰς ἔτι κῶρος ἐν ἄλσεϊ δενδράεντι

III. Stob. Ecl. Phys. I, 8, 39. *Ἐκ τῶν βίωνος βουκολίων* Vat. Canter.
1. *ὁ* pro *ὦ* Vat. — *φθινοπώρω*] Brunck. —*ρου* vulg.
3. *ἤ*] Ameis. *ἢ* vulg. — *ἅσσα* Vat. *ὅσσα* Urs.
4. 5. *ἤ* bis (v. 3. *ἢ*) Ahrens. — *ὄκ'* Brunck. probante Meinekio in notis ad Stob. — *ἐλαφρά*] Vat. Urs. *ἐλαφρὸς* Crisp. Cant.
6. *θέλγονται*] Urs. *τέρπονται* Grot. *θάλποντας* vulg. — *ἀεργείᾳ*] coni. Valck. *ἀεργείῃ* vulg. *ἀεργίῃ* Urs. *ἀεργίᾳ* Ahrens.
7. *ἤ* Ahrens. — *εὔαδεν· εἰπέ, τί τοι φρήν*] Urs. *εὖα δ' ἐνειπέ τοι τιφρὸν* Vat. — Post *εὔαδεν* aliquid ad veris laudem dictum excidisse suspicatur Meinek. in notis ad Stob. Vix enim dubitari posse, quin parem versuum numerum poeta utrique cantatori tribuerit.

8. *λαλέειν*] Vat. Urs. *λαλέεν* Grot. — *ἁ σχολὰ*] Vat. Urs. — *ἁμῖν*] Steph. in Epistol. p. 171. *ἡμῖν* Vat. vulg. *ἄμμιν* Valck. *ὑμῖν* Urs. (in Bionis Bucolicis.)
10. *ἁδέα· σεῦ δὲ ἕκατι*] Vat. Urs.
11. *πέλεν ἅδιον*] Vat. Urs.
13. *νοσέρ'* Ahrens. *νόσον ἂν ῥέα* Herm.
14. *φέρον*] Herm. *φέρειν* vulg. *φέρει* Crisp. — *νιφετοὺς* Vulc. — *κρυμώς*] Brunck. *κρυμὸς* Vat. *κρυμούς* Urs. *φέρει νιφετῶν κρύος, ὥστε* Meinek. in ed. Stob.
15. *τριπόθητον*] Ahrens. —*ατον* vulg. — *εἴαρ* et *λυκαβάντι* Vat.
16. *μήτ'* — *ἄμμι* Vat. *ἅμμε* Urs. *ἅμε* malit Meinek. in notis ad Stob.
17. *πάντα* pro *πάντ'* Vat. — *βλαστεῖ*] Urs. *βλάστη* vulg. — *ἀώς* Vat. Urs.

IV. Stob. Floril. LXIV, 21. *Ἐκ*

ὄρνεα θηρεύων τὸν ὑπόπτερον εἶδεν Ἔρωτα
ἑσδόμενον πύξοιο ποτὶ κλάδον· ὡς δ' ἐνόησε,
χαίρων οὕνεκα δὴ μέγα φαίνετο τὤρνεον αὐτῷ,
τὼς καλάμως ἅμα πάντας ἐπ' ἀλλήλοισι συνάπτων
τᾷ καὶ τᾷ τὸν Ἔρωτα μετάλμενον ἀμφεδόκευε.
χὼ παῖς ἀσχαλάων, ὅκα οἱ τέλος οὐδὲν ἀπάντη,
τὼς καλάμως ῥίψας ποτ' ἀροτρέα πρέσβυν ἵκανεν,
ὅς νιν τάνδε τέχναν ἐδιδάξατο, καὶ λέγεν αὐτῷ,
καί οἱ δεῖξεν Ἔρωτα καθήμενον. αὐτὰρ ὁ πρέσβυς
μειδιάων κίνησε κάρη καὶ ἀμείβετο παῖδα·
φείδεο τᾶς θήρας, μηδ' ἐς τόδε τὤρνεον ἔρχευ.
φεῦγε μακράν. κακόν ἐστι τὸ θηρίον. ὄλβιος ἐσσῇ,
εἰςόκα μή νιν ἕλῃς· ἢν δ' ἀνέρος ἐς μέτρον ἔλθῃς,
οὗτος ὁ νῦν φεύγων καὶ ἀπάλμενος αὐτὸς ἀφ' αὐτῶ
ἐλθὼν ἐξαπίνας κεφαλὰν ἐπὶ σεῖο καθιξεῖ.

Ε'. [Γ'.]

Ἁ μεγάλα μοι Κύπρις ἔθ' ὑπνώοντι παρέστα,
νηπίαχον τὸν Ἔρωτα καλᾶς ἐκ χειρὸς ἄγοισα
ἐς χθόνα νευστάζοντα, τόσον δέ μοι ἔφρασε μῦθον·
μέλπειν μοι φίλε βοῦτα λαβὼν τὸν Ἔρωτα δίδασκε.

τῶν βίωνος σμυρναίου βουκολικῶν Reg. et inserto *τοῦ* post *τῶν* Medic. Trinc.

2. *ὑπόπτερον*] Briggs. *ἀπότροπον* vulg.

3. *ἑσδόμενον*] Crisp. *ἐσδ—* vulg., *ἑσ* fort. a sec. Venet. — *ἐνόησε*] Reg. *ἐνόασε* vulg. *ἐνόησεν* Herm.

4. *οὕνεκα*] Herm. *οὕνεκα* Reg. *ὥνεκα* vulg. — *τὤρνεον*] coni. Valck. *ὄρνεον* vulg. — Ameis. versum uncis inclusit.

5. *ἀλλήλοισι*] Reg. *ἀλλάλοισι* vulg. *ἀλλάλησι* Medic. Trinc.

6. *ἀμφεδόκευε*] Reg. *—εν* vulg.

7. *ἀσχαλάων*] Medic. Trinc. *ἀσχαλόων* Schaefer. *ἤσχαλεν* Reg. — *ὅκα οἱ*] Porson. *οὕνεκα οἱ* Venet. Trinc. *οὕνεκά οἱ* Medic. *οὕνεκα οἱ* Reg. *ἕνεκ' οἱ* Gesn. *ὅτι οἱ* Brunck.

9. *τέχναν*] Urs. *τέχνην* vulg.

11. *μειδιόων* Brunck.

12. *τὰν θήραν* Medic. Trinc. Urs. — *τόδε τὤρνεον*] Steph. *τόδε τ' ὤρνεον* Reg. *τόδε τ' ὄρνεον* vulg. *τόδ' ἔτ' ὄρνεον* Urs.

13. *κακόν ἐστι*] Ahrens. *κακὸν ἐντὶ* Reg. vulg. *κακὸν ἐντι* Medic. *κακόν εντι* Trinc. — *ἐσσῇ*] Brunck. *ἔσσῃ* vulg.

14. *είσ ὅκα* Reg. *εἰσόκε* Ahrens. — *νιν*] Ameis. *μιν* vulg.

15. *ὁ* post *νῦν* Reg. — *ἀπάλμενος*] Reg. *ἐπ—* Medic. Trinc. — *αὐτῶ*] Medic. Steph. *αὐτῷ* vulg.

16. *ἔπι* Winterton. — *σοῖο* Reg.

V. Ibid. LXIII, 26. *Ἐκ τῶν βίωνος βουκολικῶν* Medic. Trinc. *Βίωνος βουκολικοῖς* Reg.

1. *ὑπνόωντι* Medic. Trinc. *ἔθ' ἡβώοντι* Herm. e coni. Herelii. *ἐφηβώοντι* Meinek.

2. *καλῶς* Medic. Trinc.

4. *βῶτα* et vs. sq. *βωκ—* Brunck. contra libros.

ὣς λέγε· χά μὲν ἀπῆλθεν, ἐγὼ δ' ὅσα βουκολίασδον,
νήπιος ὡς ἐθέλοντα μαθεῖν τὸν Ἔρωτα δίδασκον,
ὡς εὗρε πλαγίαυλον ὁ Πάν, ὡς αὐλὸν Ἀθάνα,
ὡς χέλυν Ἑρμάων, κίθαριν ὡς ἁδὺς Ἀπόλλων.
ταῦτά νιν ἐξεδίδασκον· ὁ δ' οὐκ ἐμπάζετο μύθων,
ἀλλά μοι αὐτὸς ἄειδεν ἐρωτύλα, καί μ' ἐδίδασκε
θνατῶν ἀθανάτων τε πόθους καὶ ματέρος ἔργα.
κἠγὼν ἐκλαθόμαν μὲν ὅσων τὸν Ἔρωτα δίδασκον,
ὅσσα δ' Ἔρως μ' ἐδίδαξεν ἐρωτύλα πάντ' ἐδιδάχθην.

ϛ΄. [Δ΄.]

Ταὶ Μοῖσαι τὸν Ἔρωτα τὸν ἄγριον οὐ φοβέονται,
ἐκ θυμῶ δὲ φιλεῦντι καὶ ἐκ ποδὸς αὐτῷ ἕπονται.
κἢν μὲν ἄρα ψυχάν τις ἔχων ἀνέραστον ἀείδῃ,
τῆνον ὑπεκφεύγοντι καὶ οὐκ ἐθέλοντι διδάσκειν·
ἢν δὲ νόον τις Ἔρωτι δονεύμενος ἁδὺ μελίσδῃ,
ἐς τῆνον μάλα πᾶσαι ἐπειγόμεναι προρέοντι.
μάρτυς ἐγών, ὅτι μῦθος ὅδ' ἔπλετο πᾶσιν ἀλαθής.
ἢν μὲν γὰρ βροτὸν ἄλλον ἢ ἀθανάτων τινὰ μέλπω,

5. ὡς Reg. — χά] Venet. χ' ἁ Reg. Medic. vulg.

6. ὡς] Reg. Mekerch. ὣς Medic. Trinc. — Ἔρωτ' ἐδίδασκον Ameis. cum Vossio.

7. εὗρε] Reg. Medic. Trinc. — ὁ Πάν] Reg. Gesn. ὅπα Medic. Trinc. et relicto spatio Venet.

8. κίθαριν] Reg. Trinc. κίθαριν δ' Mek. κίθαρ Venet. Medic., prior in marg. a sec. κίθαριν. — ἁδὺς] reliqui vulgatam quamvis corruptam. ἡδὺς (η e corr.) Reg. ἁδέ' Herm. ἄνυσ' Ahrens.

9. νιν] Ameis. μιν vulg. — εδί δασκον Medic. ἐδιδ— Trinc. — ὁ δ'] Reg. vulg. ὅδ' Medic. Trinc.

10. ἐδίδασκε] Reg. Medic. vulg.

11. θνητῶν Reg. — πόθως Brunck. πάθη Reg. — μητέρος Reg.

12. ἐκλαθόμην Reg. — Ἔρωτα δίδασκον] Reg. Medic. vulg. Ἔρωτ' ἐδίδ— Meinek. alii.

13. μ' ἐδίδαξεν] Reg. μ' ἐδίδασκεν Medic. Trinc.

VI. Ibid. LXIII, 7. Ἐκ τῶν τοῦ βίωνος βουκολικῶν Medic. Trinc. Βίωνος Reg.

1. μοῦσαι Reg. — οὐ φοβέονται] Vulc. οὐ φοβέουσαι Gesn. ἢ φοβέονται Reg. Medic. Trinc.

2. ἐκ θυμῶ δὲ φιλεῦντι] Valck. ἐκ θυμῶ φιλέοντι Gesn. ἢ 'κ θυμῶ φ. Medic. Trinc. ἢκ θ. φ. Ahrens. ηκ θυμοῦ φ. Reg.

3. ἀείδῃ] coni. Steph. ἀείδη Reg. δὴ δὴ Medic. Trinc. ὀπηδεῖ Gesn.

5. ἢν δὲ] Reg. Medic. vulg. ἢ δὲ Venet. Trinc. — τις] Brunck. τῷ vulg. — μελίσδη (η e corr.) Reg.

7. ὅδ'] Reg. Medic. Mek. ὃ δ' Trinc. ὅθ' Gesn. — πάμπαν Meinek. — ἀλαθής] Brunck. ἀληθής vulg. — μάρτυς ἐγὼν ὅδε πᾶσιν, ὅτ' ἔπλετο μῦθος ἀλαθής Herm.

8. θεὸν pro βροτὸν Reg. — ἀθανάτων] Reg. Steph. mg. ἀθάνατον Medic. ἀθάνατόν Trinc. — τινὰ] Reg. Medic. Steph. mg. τινα vulg.

βαμβαίνει μοι γλῶσσα καὶ ὡς πάρος οὐκέτ' ἀείδει·
ἦν δ' αὖτ' ἐς τὸν Ἔρωτα καὶ ἐς Λυκίδαν τι μελίσδω,
καὶ τόκα μοι χαίροισα διὰ στόματος ῥέει αὐδά.

Ζ'. [Ε'.]

Οὐκ οἶδ', οὐδ' ἐπέοικεν ἃ μὴ μάθομες πονέεσθαι.

Εἴ μοι καλὰ πέλει τὰ μελύδρια, καὶ τάδε μοῦνα
κῦδος ἐμοὶ θησεῦντι, τά μοι πάρος ὤπασε Μοῖσα.
εἰ δ' οὐχ ἀδέα ταῦτα, τί μοι πολὺ πλείονα μοχθεῖν;

Εἰ μὲν γὰρ βιότω διπλόον χρόνον ἄμμιν ἔδωκεν
ἢ Κρονίδας ἢ Μοῖρα πολύτροπος, ὥστ' ἀνύεσθαι
τὸν μὲν ἐς εὐφροσύναν καὶ χάρματα, τὸν δ' ἐνὶ μόχθῳ,
ἦν τάχα μοχθήσαντι ποθ' ὕστερον ἐσθλὰ δέχεσθαι.
εἰ δὲ θεοὶ κατένευσαν ἕνα χρόνον ἐς βίον ἐλθεῖν
ἀνθρώποις, καὶ τόνδε βραχὺν καὶ μείονα πάντων,
ὅσσά περ οἱ δειλοὶ καματώδεες ἔργα πονεῦμες,

9. *βαμβαίνει*] Reg. *καμβαίνει* Medic. vulg. — *μοι*] Ameis. *μευ* vulg. In Reg. super *ευ* ꟊ. — *οὐκέτ'*] Medic. Urs. *οὐκ ἔτ'* vulg.
10. *αὖτ"* pro *αὖτ' ἐς* Reg.
11. *ναὶ τόκα* Meinek. In notis tamen vulgatam defendi posse ait Homer. Il. VI, 175. *αὐτίκα* e coni. Ruhnkenii Herm. — *ῥεῖ* Medic. Trinc. *χέει* Reg. — *αὐδά*] Urs. *ᾠδά* Gesn. *ᾠδά* Reg. *ὠδά* Medic. Trinc.

VII.[a]. Ibid. LVIII, 11. *Βίων βουκολικοῖς* Reg. In Venet. Medic. primus vs. deest, in Trinc. antecedenti Pindari fragmento Nr. 9. adhaeret.
1. *οὐκ ἔστ'* Herm. — *ἅμοι* Reg. — *μάθομες*] Ahrens. *μάθομεν* vulg.

VII.[b]. Ibid. *Ἐκ τῶν βίωνος βουκολικῶν* Medic. Trinc. Antecedenti fragmento adhaeret in Reg. ed. Gesn. vulg.
2. *μευ* Ahrens. — *μῶνα* Herm. cum Brunck.
3. *θησεῦντι*] ut dederat Brunck. Regius. *θήσοντι* vulg. — *Μοῖσα*] coni. Steph. ed. II., *μοῖρα* vulg. In Reg. videtur sec. *σε μοῖρα* addidisse.
4. Pro *πολὺ* Herm. *γλυκὺ*, Ahrens. *ποτὶ*, Meinek. *ποτε* in notis, Bergk. *πλῆον πολύ*. — *πλήονα* Vulc. *μείζονα* Reg. — *μοχθεῖν*] Reg. Medic. Trinc. *μοχθῆν* Brunck.

VII.[c]. Ibid. Vulg. hoc fragmentum adhaeret praegresso. Primus distinxit Herm.

5. *βιότῳ* Reg. — *ἄμμιν*] Reg. Grot. *ἅμμιν* Urs. *ἀμῖν* Medic. Trinc.
6. *παλίντροπος* coni. Ahrens.
7. *μόχλω* Medic., *λ* corr. in *ϑ* Venet.
8. *μοχθήσαντι ποθ'*] Reg. corr. Steph. *μοχθήσαντι πόθ'* Reg. pr. *μοχθήσαντί ποθ'* vulg. *μοχθήσαντί ποχ'* Herm. cum Brunck. *μοχθήσαντι μεθύστερον* Meinek.
9. *ἐλθεῖν*] Venet. Reg. Trinc. *ἐλθῆν* Medic.
10. *μείονα*] Ahrens. *μήονα* Medic. Trinc. *μήονα* Reg. Gesn. vulg.
11. *ὅσσαπερ οἱ*] Herm. *ὁππόσα τοὶ* Ahrens. *ἐς πόσον ἁ* Reg. Medic. Trinc. *ἐς πόσον ἃ* Gesn. — *καμα-*

ἄχρι τίνος ψυχὰν ποτὶ κέρδεα καὶ ποτὶ τέχνας
βάλλομες, ἱμείροντες ἀεὶ πολὺ πλείονος ὄλβω;
λαθόμεθ' ἦ ἄρα πάντες, ὅτι θνατοὶ γενόμεσθα,
χὡς βραχὺν ἐκ Μοίρας λάχομες χρόνον.

Η'.

Ὄλβιοι οἱ φιλέοντες, ἐπὴν ἴσον ἀντεράωνται.
ὄλβιος ἦν Θησεὺς τῶ Πειριθόω παρεόντος,
εἰ καὶ ἀμειλίκτοιο κατήλυθεν εἰς Ἀίδαο.
ὄλβιος ἦν χαλεποῖσιν ἐν ἀξείνοισιν Ὀρέστας,
οὕνεκά οἱ ξυνὰς Πυλάδας ἥρητο κελεύθους.
ἦν μάκαρ Αἰακίδας ἑτάρω ζώοντος Ἀχιλλεύς·
ὄλβιος ἦν θνάσκων, ὅτι οἱ μόρον αἰνὸν ἄμυνεν.

Θ'. [Ις'.]

Ἕσπερε, τᾶς ἐρατᾶς χρύσεον φάος Ἀφρογενείας,
Ἕσπερε κυανέας ἱερὸν φίλε νυκτὸς ἄγαλμα,
τόσσον ἀφαυρότερος μήνας, ὅσον ἔξοχος ἄστρων,
χαῖρε φίλος, καί μοι ποτὶ ποιμένα κῶμον ἄγοντι
ἀντὶ σελαναίας τὺ δίδου φάος, οὕνεκα τήνα
σάμερον ἀρχομένα τάχιον δύεν. οὐκ ἐπὶ φωράν

τώδεες] Wakefield. *καμάτως κ' εις* Reg. Medic. *καμάτως κ' εἰς* vulg.

12. *ἄχρι τίνος ψυχὰν*] *ψ. δ' ἄχρι τίνος* vulg., sine *δ'* Hart. *ἀντὶ τίνος ψ.* Herm.

13. *πλείονος*] Reg. *πλήονος* Medic. Trinc. *πλῄονος* vulg.

14. *ἦ λαθόμεσθ' ἄρα* Herm. *λαθόμεθ' ἦ μάλα* coni. Meinek.

15. *λάχομες*] Brunck. *λάχομεν* vulg.

VIII. Ibid. LXIII, 28. cum lemmate *τοῦ αὐτοῦ*, sine lemm. Gesn. In Venet. Medic. Reg. Trinc. deest.

1. *ἐπὴν ἴσον*] Steph. II. *ἐπήνισον* Gesn. cum asterisco et in marg.: lego *ἐπ' ἶσον τ'. ἐπὴν ἶσον* Urs.— *ἀντεράωνται*] Urs. *ἀντεράοντε* Gesn.

2. *Θησεὺς*] Gesn. *Θασεὺς* Urs.

3. *οἳ — κατήλυθον* Herm. *ὦ καὶ ἆμ' ἀλλίστοιο κατήλυθεν εἰς ἀίδαο* Meinek. in notis.

4. Pro *χαλεποῖσιν* Herm. *Ταύροισιν*. Wakefield. coni. *Χαλύβεσσιν*, Meinek. olim *Χαλύβοισιν*. Nunc scripsit *χαλεποῖσιν ἐνὶ ξείνοισιν*. — *Ὀρέστης* Gesn.

5. *ὥνεκα* Ahrens. — *ἥρητο*] reliqui quod a Grot. profectum est. *ἄρητο* Urs. *ἄρκτο* Gesn. cum aster. et in marg.: addo *φίλος. ἀλῆτο κελεύθως* Ahrens.

IX. Ibid. LXIII, 27. *Τοῦ αὐτοῦ* a sec. Reg., sine lemm. Medic. Trinc.

1. *Ἀφρογενείας*] Reg. Steph. —*ήας* Venct. Trinc. et fort. e corr. Medic. —*ῄας* Gesn.

3. *ἀφαυρότερος*] Urs. —*τερον* vulg. — *ὅσσον* — *τόσον* malit Ahrens.

5. *σεληναίας* Reg. — Post *φάος* sequitur in Reg. statim *οὐκ ἐπὶ* —. *οὕνεκα*] Herm. *ὥνεκα* vulg.

6. *φωράν*] Reg. *φωρᾷν* Gesn. *ἐπιφωρῶν* Medic. Trinc.

ἔρχομαι, οὐδ' ἵνα νυκτὸς ὁδοιπορέοντα λοχάσω·
ἀλλ' ἐράω· καλὸν δέ τ' ἐρασσαμένῳ συναρέσθαι.

Ι'. [ΙΖ'.]

Ἅμερε Κυπρογένεια, Διὸς τέκος οὐδὲ θαλάσσας,
τίπτε τόσον θνατοῖσι καὶ ἀθανάτοισι χαλέπτεις;
τυτθὸν ἔφαν· τί νυ τόσσον ἀπήχθεο καὶ τὶν αὐτᾷ,
ταλίκον ὡς πάντεσσι κακὸν τὸν Ἔρωτα τεκέσθαι,
ἄγριον ἄστοργον, μορφᾷ νόον οὐδὲν ὁμοῖον;
ἐς τί δέ νιν πτανὸν καὶ ἑκαβόλον ὤπασας ἦμεν,
ὡς μὴ πικρὸν ἐόντα δυναίμεθα τῆνον ἀλύξαι;

ΙΑ'. [Ζ'.]

Ἀμφασία τὸν Φοῖβον ἕλεν τόσον ἄλγος ἔχοντα.
δίζετο φάρμακα πάντα, σοφὰν δ' ἐπεμαίετο τέχναν·
χρῖεν δ' ἀμβροσίᾳ καὶ νέκταρι, χρῖεν ἅπασαν
ὠτειλάν· μοιραῖα δ' ἀναλθέα τραύματα πάντα.

ΙΒ'.

Αὐτὰρ ἐγὼν βασεῦμαι ἐμὰν ὁδὸν ἐς τὸ κάταντες

7. *ὁδοιπορέοντα λοχάσω*] Ahrens. *ὁδ— λοχήσω* Ruhnken. *ὁδοιπορέοντ' ἐνοχλέω* Reg. Medic. Trinc. *ὁδοιπορέοντ' ἐνοχλήσω* Gesn.

8. *συναρέσθαι*] Meinek. et Ahrens. *συνερᾶσθαι* vulg. — *ου* a sec. in marg. Reg.

X. Ibid. LXIV, 22. cum lemmate *τοῦ αὐτοῦ*. In Venet. Medic. Reg. Trinc. deest.

1. *οὐδὲ*] Herm. *ἠδὲ* Gesn. *ἠὲ* Ahrens.
3. *ἀπέχθεο* Gesn. — *τὶν αὐτᾷ*] Graef. *τίναυτα* Gesn. cum aster. *τί νυ αὐτὰ* Scaliger. *τεῖν αὐτᾷ*, quod dubitationem movet propter correptionem. Herm.
4. *τεκέσθαι*] Herm. *τέκηαι* vulg.
5. *ὅμοιον* Gesn.
6. *πρὸς δ' ἔτι* Herm. deleto in fine carminis signo interrogationis. — *ἡμῖν* Gesn. *ἄμμιν* Valck.

XI. Stob. Ecl. Phys. I, 5, 7. *Ἐκ τῶν βίωνος βουκολικῶν εἰς ὑάκινθον* Vat. Canter. (nisi quod hic *βουκολίων*.)

1. *βίον* pro *Φοῖβον* Vat. Urs. *δ' ἄρα Φ.* Herm. *τόκα Φ.* Meinek. (in edit. Stob. *τὸν Φ.*)
2. *ἐπεμαίετο*] Crisp. *ἐπεβαίνετο* Urs. *ἐπεβώετο* Canter. *ἐθερέντο* Vat.
3. *χρῖεν* bis] Urs. *χρεῖεν* vulg. — *ἀμβροσίᾳ*, Urs. vulg. *ἀμβροσία* Vat. *ἀμβροσίῃ* Steph. *ἀμβροσίαν καὶ νέκταρ* Urs. in Virgil. illustr.
4. *μοιραῖα*] Herm. *Μοίραισι* vulg. *μοίρασι* a pr., *μοιράσι* a sec. Vat. — *ἀναλθία* superscr. *ε΄* Vat. — *τραύματα*] Herm. *φάρμακα* vulg.

XII. Stob. Floril. CX, 17. *Ἐκ τῶν τοῦ βίωνος βουκολικῶν* Medic. Trinc. *Βίωνος* Reg.

1. *βασεῦμαι*] Urs. *βὰς εὖ, καὶ* Medic. Trinc. *εὖ βὰς. καὶ* Reg.

τῆνο ποτὶ ψαμαθόν τε καὶ ἠιόνα ψιθυρίσδων,
λισσόμενος Γαλάτειαν ἀπηνέα· τὰς δὲ γλυκείας
ἐλπίδας ὑστατίω μέχρι γήραος οὐκ ἀπολειψῶ.

ΙΓʹ. [Θʹ.]

Οὐ καλὸν ὦ φίλε πάντα λόγον ποτὶ τέκτονα φοιτῆν,
μηδ' ἐπὶ πάντ' ἄλλω χρέος ἰσχέμεν· ἀλλὰ καὶ αὐτός
τεχνᾶσθαι σύριγγα· πέλει δέ τοι εὐμαρὲς ἔργον.

ΙΔʹ. [Ιʹ.]

Μοίσας Ἔρως καλέοι, Μοῖσαι τὸν Ἔρωτα φέροιεν.
μολπὰν ταὶ Μοῖσαί μοι ἀεὶ ποθέοντι διδοῖεν,
τὰν γλυκερὰν μολπάν, τᾶς φάρμακον ἅδιον οὐδέν.

ΙΕʹ. [ΙΑʹ.]

Ἐκ θαμινᾶς ῥαθάμιγγος, ὅπως λόγος, ἀεναοίσας
χἀ λίθος ἐς ῥωχμὸν κοιλαίνεται.

Ιϛʹ. [ΙΓʹ.]

Μηδὲ λίπῃς μ' ἀγέραστον, ἐπεὶ χὠ Φοῖβος ἄειδε
μισθὸν ἑλών. τιμὰ δὲ τὰ πράγματα κρέσσονα ποιεῖ.

2. *ἀϊόνα* Herm. — *ψιθυρίσδων*] Medic. *ψιθυρίσδωα* Trinc. *ψιθυρίσδω* Gesn. *ψιθυρίζων* Reg.
3. *ἀπολειψῶ*] Brunck. *ἀπολείψω* Reg. Urs. *ἀπολείψει* Medic. Trinc. *ἀπολείψειν* Gesn., in marg.: malim *ἀπολείψω*.

XIII. Ibid. XXIX, 53. *Τοῦ αὐτοῦ* Urs., sine lemm. Reg. Medic. Trinc.
1. *πάντα χρόνον* Herm. — *φοιτᾶν* Reg.
2. *μηδ' ἐπὶ*] Grot. et Valck. *μηδέ τι* Trinc. *μὴ δέ τυ* Reg. *μὴ δέ τοι* Medic. *οὐδ' ἐπὶ* Herm. — *ἄλλω*] Salmas. *ἄλλο* Medic. Trinc. *ἄλλου* Reg. Urs.

XIV. Stob. Ecl. Phys. I, 9, 3. *Ἐκ τῶν βίωνος βουκολικῶν* Vat. Canter.
1. *Μοίσας*] Valck. *Μοῖσας* Urs. In Vat. videbatur mihi accentus deesse. — *τὸν*] Vat Urs. *τε* Canter.
2. *τε* pro *ταὶ* Vat. — *διδοῖεν*] Vat. Urs. *δίδοιεν* vulg.
3. *ἔνδη* pro *ἅδιον* Vat.

XV. Stob. Floril. XXIX, 52. *Βίωνος σμυρναίου βουκολικῶν* Reg. *Σμυρναίου βουκολικοῦ* Medic. *Σμιρνέου β—* Trinc.
1. *θαμινᾶς*] Ahrens. *θαμινῆς* vulg. — *ὅπως*] Reg. Herm. *ὅκως* vulg. *κ* a sec. super *π* Reg. — *ἀεναοίσας*] Meinek. in notis. *αἰεναοίσας* Ameis. *ἀϊσσοίσας* Ahrens. *αἰὲν ἰοίσας* Reg. Gesn. *αἰὲς ἰοίσας* Schaefer. *ῥαθάμιγγος . . ὠ κ' ὡς . . λόγος* Med. Trinc. Initio sequentis vs. *αἰ ἐσιοίσας* Trinc. *αἰ ἐσϊοῖσας* Medic. *αἰ ἐσϊὄίσας* Venet.
2. *ῥωχμὸν*] Reg. Medic. Trinc. *ῥωγμὸν* Valck.

XVI. Ibid. XLIII, 8. *Βίωνος βουκολικά* Medic. Trinc. *Βίων βουκολικοῖς* Reg.
1. 2. *ἐπεὶ*] Reg. *ἐπὴν* vulg. — *καὶ* Reg. — *ἄειδε | μισθὸν ἑλών*] *ἀείδειν μ. ἔδωκε* vulg. *ἀείδει μ. ἑλών*

ΙΖ′ [ΙΔ′.]

Μορφὰ θηλυτέρῃσι πέλει καλόν, ἀνέρι δ' ἀλκά.

ΙΗ′.

Πάντα θεοῦ γὰρ θέλοντος ἀνύσιμα πάντα βροτοῖσι,
ἐκ μακάρων γὰρ ῥάστα καὶ οὐκ ἀτέλεστα γένοιτο.

Ahrens. *ἀείδων μισθὸν ἕλεν* Herm., in notis *ἄειρεν μισθὸν ἑκὼν* se scripsisse dicens, quod dubitanter recepit Meinek. In adnotationibus proposuit *χὠ χῖος* (aut *κεῖος*) *ἀοιδὸς μισθὸν ἕλεν*, vel *χὠ χῖος ἄειδεν μισθὸν ἑλών*. — *τιμᾶ* Medic. Trinc. — *κρείσσονα* Reg.

XVII. Ibid. LXV, 4. *Ἐκ τῶν τοῦ βίωνος βουκολικῶν* Medic. Trinc. *Βίωνος βουκολικοῖς* Reg.

XVIII. Servavit Orion Anth. 5, 4. cum lemmate: *ἐκ τῆς Ὁμολογούσης τῶν Βίωνος βουκολικῶν*, ubi *Ὁμολ—* nomen comoediae esse, cuius fragmentum post illum titulum exciderit, Meinek. et Bergk. intellexerunt. Exhibui verba poetae ut in cod. scripta sunt. Herm. edidit: *Πάντα θεοῦ κ' ἐθέλοντος ἐναίσιμα, πάντα βροτοῖσιν | ἐκ μακάρων ἐργαστὰ καὶ ὠκυτέλεστα γένοιτο.* Ahrens.: *Πάντα θεῶ γ' ἐθέλοντος ἐναίσιμα, πάντα βροτοῖσιν | ἐκ μακάρων ῥαΐστα καὶ οὐκ ἀτέλεστα γένοντο.*

ΜΟΣΧΟΥ

ΤΟΥ ΣΥΡΑΚΟΣΙΟΥ

ΕΙΔΥΛΛΙΑ.

ΕΡΩΣ ΔΡΑΠΕΤΗΣ.

Α'.

Ἁ Κύπρις τὸν Ἔρωτα τὸν υἱέα μακρὸν ἐβώστρει·
ὅστις ἐνὶ τριόδοισι πλανώμενον εἶδεν Ἔρωτα,
δραπετίδας ἐμός ἐστιν· ὁ μανύσας γέρας ἑξεῖ.
μισθός οἱ τὸ φίλημα τὸ Κύπριδος· ἢν δ' ἀγάγῃς νιν,
οὐ γυμνὸν τὸ φίλημα, τὺ δ' ὦ ξένε καὶ πλέον ἑξεῖς.
ἔστι δ' ὁ παῖς περίσαμος· ἐν εἴκοσι πᾶσι μάθοις νιν.
χρῶτα μὲν οὐ λευκός, πυρὶ δ' εἴκελος· ὄμματα δ' αὐτῷ
δριμύλα καὶ φλογόεντα· κακαὶ φρένες, ἁδὺ λάλημα·
οὐ γὰρ ἴσον νοέει καὶ φθέγγεται· ὡς μέλι φωνά,

I. Libri: Contuli ad hoc carmen duos Venetos, Mutinensem, Ambrosianum, duos Mediceos, tres Vaticanos, Stobaeum Venet. Medic. (7—10. 16. 17.) Sed tamen eas modo commemoravi scripturas, quae insunt in Veneto 456. (Bs.), Medic. 16. (s.), Medic. 43. (r.), Vat. 1311. (11.), Stobaeo Medic. (St Med.), exceptis iis locis, in quibus alii codd. singulare aliquid exhibent.

Ἔρως δραπέτης] 11. Μόσχου Ἔ. δρ. Bs. r. Antt. Μόσχου συρρακουσίου ἔρως δρ. s. τοῦ αὐτοῦ (i. e. Μόσχου) St Med. Θεοκρίτου a sec. in marg. r., Μόσχου a sec. in marg. 11.

2. ὅστις] Ahrens. ὅστι superscr. εἴ τις 11. εἴτις vulg. — τριόδεσσι Bs. τριόδοισι (superscr. εσσι) 11. — ἀλώμενον supra 11. — In f. v. habent Antt. colon, Ahrens. —

3. μανύσας] 11. μαννυτάς (ut 11. supra) vulg. μηνυτὰς Bs. — ἑξεῖς (ut coni. Graef.) Ahrens. — Post ἐστιν Ahrens. — deleta interpunctione in f. v.

4. μισθός οἱ] Hermann. μισθός τοι Bs. r. Antt. μισθόν τοι 11. s. μισθόν τοι, τὸ — Ahrens. — φίλημα] Vat. 1463. φίλαμα vulg. — ἀγάγῃ 11.

5. φίλημα] Vat. 1463. e corr., fuerat α. φίλαμα vulg. — τὺ δ' ὦ] 11. Iunt. Call. τοι supra 11. τὶ δ' ὦ Ahrens. e coni. Steph. τϊ δῶ s. φίλαμά τι δῶ Bs. r. Ald. — ἕξεις 11.

6. ἔστι δὲ καὶ superscr. ὁ παῖς 11. — εἴκοσι] Gesner. vulg. εἰκόσι 11. s. r. Ald. Call. οἰκόσι Iunt. — πάσαις 11. — μάθοις νιν] Bs. 11. (hic supra.) r. vulg. μάθοις κεν Hermann. μάθῃς νιν s. μάθοιο 11.

7. χρῶμα (superscr. τα) 11. — εἴκελος Ald. Iunt. ἴκελος s. St Med. ἴκελος 11. — αὐτῷ] Trinc. αὐτῶ 11. St Med. αὐτοῦ vulg.

8. δριμυλὰ 11. s. St Med.

9. ἢ οὐ s. — ἰσονοέει Vat. 1463. — μελίφωνα St Med.

ἒν δὲ χολά· ὅλος ἐστὶν ἀνάμερος, ἠπεροπευτάς,
οὐδὲν ἀλαθεύων, δόλιον βρέφος, ἄγρια παίσδων.
εὐπλόκαμον τὸ κάρανον, ἔχει δ' ἰταμὸν τὸ μέτωπον.
μικκύλα μὲν τήνῳ τὰ χερύδρια, μακρὰ δὲ βάλλει,
βάλλει κεὶς Ἀχέροντα καὶ εἰς Ἀίδεω βασιλῆα.
γυμνὸς μὲν τόγε σῶμα, νόος δέ οἱ εὖ πεπύκασται.
καὶ πτερόεις ὅσον ὄρνις ἐφίπταται ἄλλοτ' ἐπ' ἄλλως
ἀνέρας ἠδὲ γυναῖκας, ἐπὶ σπλάγχνοις δὲ κάθηται.
τόξον ἔχει μάλα βαιόν, ὑπὲρ τόξω δὲ βέλεμνον·
τυτθὸν μὲν τὸ βέλεμνον, ἐς αἰθέρα δ' ἄχρι φορεῖται.
καὶ χρύσεον περὶ νῶτα φαρέτριον, ἔνδοθι δ' ἐντί
τοὶ πικροὶ κάλαμοι, τοῖς πολλάκι κῆμὲ τιτρώσκει.
πάντα μὲν ἄγρια ταῦτα· πολὺ πλεῖον δέ οἱ αὐτῷ
βαιὰ λαμπὰς ἐοῖσα τὸν ἅλιον αὐτὸν ἀναίθει.
ἦν τύ γ' ἕλῃς τῆνον, δήσας ἄγε μηδ' ἐλεήσῃς.
κἢν ποτίδῃς κλαίοντα, φυλάσσεο μή σε πλανήσῃ.
κἢν γελάῃ, τύ νιν ἕλκε. καὶ ἢν ἐθέλῃ σε φιλῆσαι,

10. ἒν δὲ χολά] Hermann. ἐν δὲ χ. coni. Valck. ἐν δὲ χολᾶ StMed. — χολᾷ Trinc. ἦν δὲ χολᾷ vulg. ὡς δὲ χολὰ 11. — ὅλος] Hermann. νόος vulg. — ἐντὶ 11.

11. παίσδων] 11. παίσδει (ut 11. supra) vulg. δολ. βρέφος ἄγρ. παίσδειν Hermann.

12. κάρηνον 11. — μέτωπον] 11. πρόσωπον (ut 11. supra) vulg.

13. μικύλα Bs. s. (hic e corr., fuerat μῖκύλλα.) μίκυλλα 11. — τήνῳ] Ald. Iunt. τήνω vulg. κείνω s. — βελίδρια superscr. υ 11

14. δ' εἰς s. — ἀχερόεντα Bs. — καὶ pro καὶ εἰς s. — ἀΐδην 11. — βασιλῆα Ahrens.

15. γυμνὸς $^{\mu\grave{\varepsilon}\nu}$ ὅλος 11. — εὖ πεπύκασται] $\overset{\varepsilon\mathring{\upsilon}}{\grave{\varepsilon}}$μπεπύκασται 11. ἐμπ— vulg., s. cum glossa κεκόσμηται.

16. ὅσον] Bs. r. (supra: 11. s.) Antt. ὡς 11. s. St Med. — ἄλλον St Med. — ἄλλως] coni. Valck. ἄλλους Bs. r. Antt. ἄλλω St Med. et superscr. ον 11. ἄλλῳ s. Trinc.

17. σπλάγχνοισι s.

18. ἔχων Bs. — τόξῳ Ald. Iunt.

19. μὲν] 11. ἀεὶ s. ἑοῖ Bs. r. Antt. οἱ Hermann.

21. κῆμὲ] Vat. 1463. (fort. e corr.) κήμὲ Bs. Iunt. κἀμὲ 11. κάμὲ r. Ald. Call. καμε s. κάμμε Ahrens.

22. γὰρ pro μὲν Vat. 1463. δέ γ' s. — ταῦτα] 11. πάντα (ut 11. supra) vulg. — πλεῖον δέ οἱ αὐτῷ] Bs. r. Ald. Iunt. Reliqui hoc cum Meinek. quamvis corruptum. πλέον $^{\alpha}$δαεὶ — cum γρ. πλέον δέει 11. πλείων δέ οἱ — s. πλεῖον δὲ ἡ — Call. πλεῖόν γε μὲν ἃ οἱ Hermann. πλέον ἃ δ' ἀεὶ αὐτῷ Ahrens.

23. ἐνοῖσα s. — ἐναίθει s. ἀαίθει r. Ald. ἀνέχει Bs. Vat. 1463. — Post ἐοῖσα distinguunt Antt. commate.

24. ἦν τὺγ' ἕλῃς s. ψέν τις ἕλη superscr. ἦν τόγε λης 11. — κεῖνον s. et cum γρ. τῆνον Vat. 1463. — δήσας] coni. Meinek. δεύσας (superscr. η) superscr. δάσας 11. δάσας s. r. Antt. δαμάσας Bs. — ἐλεάσῃς 11

25. κἢν ποτίδῃς] coni. Wakefield. κἢν ποτ' ἴδῃς vulg. κἤν ποτ' ἴδη Call.

26. κἢν Bs. κἤν r. κήν Ald. Call. κἂν s. — γελάῃ] vulg. γελάη Bs. 11. γελάᾳ Ald. γελάα s. r. Iunt. Call. — μιν 11. — κἢν Bs. κἢν 11. — φιλῆσαι] Ahrens. φιλᾶσαι vulg.

φεῦγε· κακὸν τὸ φίλημα, τὰ χείλεα φάρμακον ἐντί.
ἢν δὲ λέγῃ „λάβε ταῦτα, χαρίζομαι ὅσσά μοι ὅπλα",
μή τι θίγῃς πλάνα δῶρα· τὰ γὰρ πυρὶ πάντα βέβαπται.

Ε Υ Ρ Ω Π Η.

B'.

Εὐρώπῃ ποτὲ Κύπρις ἐπὶ γλυκὺν ἧκεν ὄνειρον,
νυκτὸς ὅτε τρίτατον λάχος ἵσταται, ἐγγύθι δ' ἠώς,
ὕπνος ὅτε γλυκίων μέλιτος βλεφάροισιν ἐφίζων
λυσιμελὴς πεδάᾳ μαλακῷ κατὰ φάεα δεσμῷ,
εὖτε καὶ ἀτρεκέων ποιμαίνεται ἔθνος ὀνείρων.
τῆμος ὑπωροφίοισιν ἐνὶ κνώσσουσα δόμοισι
Φοίνικος θυγάτηρ ἔτι παρθένος Εὐρώπεια
ὠίσατ' ἠπείρους δοιὰς περὶ εἷο μάχεσθαι,
'Ασίδα τ' ἀντιπέρην τε· φυὴν δ' ἔχον οἷα γυναῖκες.
τῶν δ' ἡ μὲν ξείνης μορφὴν ἔχεν, ἡ δ' ἄρ' ἐῴκει
ἐνδαπίῃ, καὶ μᾶλλον ἑῆς περιίσχετο κούρης·
φάσκεν δ' ὥς μιν ἔτικτε καὶ ὥς ἀτίτηλέ μιν αὐτή.
ἡ δ' ἑτέρη κρατερῇσι βιωομένη παλάμῃσιν

27. *φίλημα*] Ahrens. *φίλαμα* vulg. — *ἔντι* Bs. Vat. 1463.
28. *ψὲν δὲ* cum *γρ.* *ἢν δὲ* 11. — *λαβὲ* Ald. Iunt.
29. *μή τι*] Bs. Vat. 1463. s. r. vulg. *μὴ τὺ* 11. — *τάγε* pro *πλάνα* s. — Post *θίγῃς* omisi cum Ahrens. interpunctionem. Vulgo aut colon aut comma. — In 11. adhaeret versus: *αἶ αἶ καὶ τὸ σίδαρον, ὃ τὸν πυρόεντα καθέξει.*

II. Libri: Ambros. 99. (f.) Vatic. 915. (m.) Venet. 522. (n.). Medic. 16. (s.) Medic. 43. (r.)
Εὐρώπη] *Εὐρώπη. εἰδύλλιον* r. Call. et praeposito *Θεοκρίτου* Iunt. *μόσχου σικελιώτου περὶ εὐρώπην* f. *μόσχου σικελιώτου εὐρώπη* m. n. s. *Θεοκρίτου* a sec. in marg. r.
1. *ἧκεν* r. Ald. Call. *ἦλθεν* m. n.
2. *τρίτατον*] Iunt. Call. *τρίτον* codd. et Ald. — *ἵστατο* f.
3. *βλεφάροισι* r. Ald. Iunt.
4. *φάεσι* n.
5. *ποιμένεται* r. Ald.
6. *ὑπ' ὠροφίοισιν* r. Ald. *ὑπορροφίοισιν* f. m. n. — *ἐνὶ κνώσσουσα*] f. r. Ald. Call. *ἐνικν—* Iunt. vulg. *ἐνικνώσουσα* n.
8. *εἷό* f. *εἷο* Ald. Call.
9. *'Ασίδα τ'*] f. *ἄσσαδ'* m. *ἄσσαν* n. *'Ασιάδα* r. Ald. *'Ασιάδ'* vulg.
10. *ἡ μὲν*] f. m. n. Iunt. — *εἶχεν* f. — *ἡ δ'*] *ἡδ'* Iunt. *ἦδ'* f. m. n. — Versus deest in s. Ald. Call., in r. a sec. additus est.
11. *ἐν δ' ἀσίῃ* s. Call. *ἐν δ' ἀσία* r. Ald. — *ἑῆς* Iunt. Call. *ἑης* m.
12. *φάσκε δὲ* n. *φάσκε δ'* f. m. *φάσκε γὰρ* coni. Herm. — *καὶ ὧς* f. — *ἀτίταλλε* m. n. — *αὐτῇ* m. *αὐτὴ* Ald.
13. *ἦδ* n. — *βιωομένη*] f. m. n. s.

εἴρυεν οὐκ ἀέκουσαν, ἐπεὶ φάτο μόρσιμον αὐτῇ
ἐκ Διὸς αἰγιόχου γέρας ἔμμεναι Εὐρώπειαν.
ἡ δ' ἀπὸ μὲν στρωτῶν λεχέων θόρε δειμαίνουσα,
παλλομένη κραδίην· τὸ γὰρ ὡς ὕπαρ εἶδεν ὄνειρον.
ἑζομένη δ' ἐπὶ δηρὸν ἀκὴν ἔχεν, ἀμφοτέρας δέ
εἰςέτι πεπταμένοισιν ἐν ὄμμασιν εἶχε γυναῖκας.
ὀψὲ δὲ δειμαλέην ἀνενείκατο παρθένος αὐδήν·
Τίς μοι τοιάδε φάσματ' ἐπουρανίων προΐηλε;
ποῖοί με στρωτῶν λεχέων ὕπερ ἐν θαλάμοισιν
ἡδὺ μάλα κνώσσουσαν ἀνεπτοίησαν ὄνειροι;
τίς δ' ἦν ἡ ξείνη, τὴν εἴςιδον ὑπνώουσα;
ὥς μ' ἔλαβε κραδίην κείνης πόθος, ὥς με καὶ αὐτή
ἀσπασίως ὑπέδεκτο καὶ ὡς σφετέρην ἴδε παῖδα.
ἀλλά μοι εἰς ἀγαθὸν μάκαρες κρήνειαν ὄνειρον.
Ὣς εἰποῦσ' ἀνόρουσε, φίλας δ' ἐπεδίζεθ' ἑταίρας
ἥλικας οἰέτεας θυμήρεας εὐπατερείας,
τῇσιν ἀεὶ συνάθυρεν, ὅτ' ἐς χορὸν ἐντύναιτο,
ἢ ὅτε φαιδρύνοιτο χρόα προχοῇσιν ἀναύρων,
ἢ ὁπότ' ἐκ λειμῶνος εὔπνοα λείρι' ἀμέργοι.
αἳ δέ οἱ αἶψα φάανθεν· ἔχον δ' ἐν χερσὶν ἑκάστη

βιωμένα r. Ald. *βιαζομένα* Iunt. Call.

14. *εἴρυ* ^{εν} (eraso *κ*) s. *εἴρυκεν* Ald. et inducto *κ* r. *ἤρυκεν* f. — *ἀεκουσ* m. *ἀέκουσ'* n. — *αὐτῇ*] Herm. *αὐτῇ* coni. Iacobs. *εἶναι* vulg.

16. *ἡ δ'*] f. r. Call. *ἦδ'* m.

17. *βαλλομένη* n. — *δϊὸ* super *τὸ* f.

18. *ἐπϊ* f. m. — *ἀκμὴν* m.

19. *εἰσ ἔτι* r. *σέτον* primis litteris ut 21. 23. 25. 27. evanidis m. *δέτον* n. — *ὄμμασι* r. Ald.

20. *δειμαλέην*] m. n. *δὴ μάλ' ἔπειτ'* vulg. — *ἀνενήκατο παρθένον* m. n.

21. *καὶ φ—* (omissis *τίς μοι τοιάδε*) n. — *προΐηλε*] f. m. n. r. Iunt. Call. *πρ—λεν* s.

22. *θαλάμοισι* n. r. Ald.

23. *ἡδὺ μάλα* om. n. — *ἀνεπτίοισαν* r. Ald., prior *οι* corr. in *η*. — *ὄνειρον* m. n.

24. *τὴν*] m. n. Iunt. *ἣν* vulg. — *εἰσίδον* f.

25. *ἔλαβε*] f. s. (hic superscriptis *β λ*.) *ἔβαλε* r. Antt., in m. clare apparet *αβε*, n. incipit a *κραδίην*. — *αὐτῇ* corr. in *αὐτή* m. *αὕτη* n.

27. *ἄλλα μοι* r. om. n. — *κρήνειαν*] coni. Wakefield. *κρίνειαν* vulg.

28. *ἐπιδίζεθ'* m. n.

29. *οἰετέας* r. *ἡλικάς οἱ ἔτεας* m. n. — *θυμήριας* r. — *εὐπατέρειας* f.

30. *ἐντύναιτο*] cum ras. post *αι* f. vulg. *ἐντύναιντο* s. r. Ald. *ἐντύνοντο* m. n.

31. *φαιδρύνοιτο*] vulg. *φαιδρύνοιτο* f. *φαιδρύνοιντο* m. n. s. r. Ald. — *προχοῇσιν*] f. vulg. *προχοῆσιν* m. n. s. *προχοαῖς* r. Ald. *προχοαῖσιν* vulg. — *ἀναύρων*] f. m. n. s. Iunt. *ἀνά*^{υ}*ρων* r. *ἀνάρων* Ald. *ἀναύρω* Call.

32. *λείρι' ἀμέργοι*] Meinek. *λείρι' ἀμέρσοι* f. m. n. s. *λείρια κέρσοι* r. Antt.

33. *αἱ*] f. m. n. s. *τῇ* Ald. et superscr. *αἱ* r. *ταὶ* Iunt. Call.

ἀνθοδόκον τάλαρον· ποτὶ δὲ λειμῶνας ἔβαινον
ἀγχιάλους, ὅθι τ' αἰὲν ὁμιλαδὸν ἠγερέθοντο
τερπόμεναι ῥοδέῃ τε φυῇ καὶ κύματος ἠχῇ.
αὐτὴ δὲ χρύσεον τάλαρον φέρεν Εὐρώπεια
θηητὸν μάλα θαῦμα, μέγαν πόνον Ἡφαίστοιο,
ὃν Λιβύῃ πόρε δῶρον, ὅτ' ἐς λέχος Ἐννοσιγαίου
ἤιεν· ἡ δὲ πόρεν περικαλλέι Τηλεφαάσσῃ,
ἥτέ οἱ αἵματος ἔσκεν· ἀνύμφῳ δ' Εὐρωπείῃ
μήτηρ Τηλεφάασσα περικλυτὸν ὤπασε δῶρον.
ἐν τῷ δαίδαλα πολλὰ τετεύχατο μαρμαίροντα.
ἐν μὲν ἔην χρυσοῖο τετυγμένη Ἰναχὶς Ἰώ,
εἰςέτι πόρτις ἐοῦσα, φυὴν δ' οὐκ εἶχε γυναίην,
φοιταλέη δὲ πόδεσσιν ἐφ' ἁλμυρὰ βαῖνε κέλευθα,
νηχομένῃ ἰκέλη· κυάνου δ' ἐτέτυκτο θάλασσα.
δοιοῦ δ' ἕστασαν ὑψοῦ ἐπ' ὀφρύος αἰγιαλοῖο
φῶτες ἀολλήδην, θηεῦντο δὲ ποντοπόρον βοῦν.
ἐν δ' ἦν Ζεὺς Κρονίδης ἐπαφώμενος ἠρέμα χερσί
πόρτιος Ἰναχίης, τὴν δ' ἑπταπόρῳ παρὰ Νείλῳ
ἐκ βοὸς εὐκεράοιο πάλιν μετάμειβε γυναῖκα.
ἀργύρεος μὲν ἔην Νείλου ῥόος, ἡ δ' ἄρα πόρτις
χαλκείη, χρυσοῦ δὲ τετυγμένος αὐτὸς ἔην Ζεύς.
ἀμφὶ δὲ δινήεντος ὑπὸ στεφάνην ταλάροιο

34. ἀνθόδοκον r. — δ' αὖ m. n.
37. αὖτη m. n. r. αὔτη Ald. — χρύσϊον m. εον e ras. n.
38. θηητὸν μάλα] Ahrens. θηητόν, μέγα vulg. θνητὸν Ald. θνητῶν, sed induct. et a sec. supra scr. θηητὸν r.
40. ἡ δὲ] f. m. r. vulg. — πόρε f. r. Ald. Call. — Τηλεφαάσσῃ] f. —φαάσση m. n. s. —φαέσση r. —φαέσσῃ vulg.
42. Τηλεφάασσα] f. m. n. s. —φάεσσα vulg.
43. δέδαλα πολλά τετ— m.
44. ἴναχις m. ἰνάχου s. r. Ald. Call.
45. γυναίην] f. m. n. γυναικός vulg.
46. φοίτα δ' ἦδε Ald. Call. et cum ἄλλως φοιταλέη δὲ in marg. r. φοίτα αἶδε s. φοιταλέοις coni. Ahrens. — ἐπ$^{\varphi}$ m.
47. ἰκέλη n. r. Antt. ante Steph. — κυάνου] Meinek. κυανή f. m. n. r. Ald. κυανῆ vulg. ῆ corr. ex ὴ s.
48. δοιοῦ] Herm. δοιοὶ vulg. — ἕστασαν f. n. r. Antt. ante Steph. — ὀφρυΐ^{o} s.
50. Ita hunc versum exhibent f. m. n. Ζεὺς ἐπαφώμενος ἠρέμα χειρὶ θεείῃ vulg. ἠρέμα Antt. ante Mor.
51. Ἰναχίης, τὴν] Piers. εἰναλίης τὴν f. n. Iunt. εἰναλύης τὴν m. εἶναι ληϊστὴν s. Ald., in r. sec. haec induxit et superscripsit εἰναλίης τὴν. ἐς καλλίστην Call. — δ'] m. n. s. Call. δι' Ald., in r. hoc a sec. deletum est, om. Iunt. vulg.
52. μετήμειβε m.
53. ἦδ' r. Iunt. Call.
54. χαλκείη] f. m. n. s. χαλκεία r. et vulg. ante Wint.
55. δινηθέντος Herm. τεχνήεντος sive δαιδαλόεντος coni. Meinek. δινωθέντος Briggs. — στεφάνοις

Ἑρμείης ἤσκητο· πέλας δέ οἱ ἐκτετάνυστο
Ἄργος ἀκοιμήτοισι κεκασμένος ὀφθαλμοῖσι.
τοῖο δὲ φοινήεντος ἀφ' αἵματος ἐξανέτελλεν
ὄρνις ἀγαλλόμενος πτερύγων πολυανθέι χροιῇ,
ταρσὸν ἀναπλώσας, ὡσεί τέ τις ὠκύαλος νηῦς
χρυσείου ταλάροιο περίσκεπε χείλεα ταρσοῖς.
τοῖος ἔην τάλαρος περικαλλέος Εὐρωπείης.
Αἱ δ' ἐπεὶ οὖν λειμῶνας ἐπ' ἀνθεμόεντας ἵκανον,
ἄλλη ἐπ' ἀλλοίοισι τότ' ἄνθεσι θυμὸν ἔτερπον.
τῶν ἡ μὲν νάρκισσον ἐύπνοον, ἡ δ' ὑάκινθον,
ἡ δ' ἴον, ἡ δ' ἕρπυλλον ἀπαίνυτο· πολλὰ δ' ἔραζε
λειμώνων ἐαροτρεφέων θαλέθεσκε πετηλά.
αἱ δ' αὖτε ξανθοῖο κρόκου θυόεσσαν ἔθειραν
δρέπτον ἐριδμαίνουσαι· ἀτὰρ μέσσῃσιν ἄνασσα,
ἀγλαΐην πυρσοῖο ῥόδου χείρεσσι λέγουσα,
οἷά περ ἐν Χαρίτεσσι διέπρεπεν Ἀφρογένεια.
οὐ μὴν δηρὸν ἔμελλεν ἐπ' ἄνθεσι θυμὸν ἰαίνειν,
οὐδ' ἄρα παρθενίην μίτρην ἄχραντον ἔρυσθαι.

m. n. διvήτοισιν — στεφάνοις Hartung.

56. ἤσχετο r. Ald., prior superscr. a sec. ἤσκητο. — πέλας· πέλας pro simplici πέλας r. et Antt. ante Cam.

58. φωνήεντος r. Ald.

59. πολυάνθεϊ r. Ald. Call. — Post hunc v. unum versum excidisse statuit Herm.

60. τάρσ' ὅς (in notis: fort. ὅς πτέρ') Ahrens. τάρσα δ' Hartung. — ἐναπλώσας s. — ὡσεὶ τέ m. Call. ὡς εἶτέ r. — ὤκυλος m. n.

61. χρυσείου] f. Iunt. χρυσίου m. n. χρουσοίου (de οι dubito) s. χρυσοῖο r. Ald. Call. — πάντῃ pro ταρσοῖς Herm.

63. αἱ δ'] m. αἵδ' f. Iunt. Call. — ἐπ' ἀνθεμόεντας ἵκανον] m. n. ἐς ἀνθ— ἵκανον f. ἐσήλυθον ἀνθεμόεντας vulg. εἰσῆλθον ἀνθ— r.

64. ἄλλη] f. m. n. s. r. Antt. ἄλλοι Steph. ἄλλαι Crisp. — ἀλλοίσι (οι superscr.) s. ἄλλαισι r. Ald., prior superscr. a sec. οι. ἀλλήλῃσι Call. — αὖ pro ἄνθεσι r. Ald., ille superscr. a sec. ἄνθεσι.

65. ἡ μὲν] f. m. r. Iunt. Call. — νεόκισσον s. Ald. — ἡ δ'] vulg. ἡδ' Iunt. ἦδ' f. m. n. s. Call. ἣ δὲ r.

66. ἡ δ' — ἡ δ'] vulg. ἦδ' — ἡδ' m. Iunt. ἦδ' — ἦδ' f. n. Call. ἥδ' — ηδ' s. ἤδιον (in marg. a sec. ἡδὲ ἴον) — ἦδ' r. — ἕρπυλον m. n. s. ἑρπύλον r. Ald. Call.

67. ἐαροτρεφέων] f. ἐαροτροφέων vulg. ἀεροτροφέων n. ἀεροτρεφέ(θων) m. — θαλέθεσκε] n. (hic εσκε e ras.) s. r. Ald. Iunt. θαλέεσκε f. θάλε' ἔσκε Ahrens. θαλέσθεκον m. τελέθεσκε coni. O. Schneider. πίπτεσκε Call. Hermanno post ἔραζε versus videtur excidisse. — πετηλά] Ahrens. πέτηλα vulg. πέτηλας inducto a sec. ς r.

68. αἱ δ'] m. r. αἵδ' f. n. s. Iunt. Call. — ἔθειραν] Lud. Dindorf. ἐθείρην vulg.

69. δρέπον m. n. — αὐτὰρ r. Ald. — μέσσῃσιν] f. μέσσοισιν n. μέσοισιν m. μέσῃ ἔστη vulg.

70. ῥόδα m. n., hic e ras.

71. οἷσπερ Ald. In r. οἷς deletum est et superscr. οἷα.

72. μὴν] n. μὲν vulg. — ἔμελλον a sec. corr. in ἔμελλεν f.

73. παρθενίην] f. m. n. s. r. Antt. παρθενικὴν Steph. — ἐρύσθαι m. n.

ἦ γὰρ δὴ Κρονίδης ὥς μιν φράσαθ', ὡς ἐόλητο
θυμὸν ἀνωίστοισιν ὑποδμηθεὶς βελέεσσι
Κύπριδος, ἣ μούνη δύναται καὶ Ζῆνα δαμάσσαι.
δὴ γὰρ ἀλευόμενός τε χόλον ζηλήμονος Ἥρης
παρθενικῆς τ' ἐθέλων ἀταλὸν νόον ἐξαπατῆσαι
κρύψε θεὸν καὶ τρέψε δέμας καὶ γίνετο ταῦρος,
οὐχ οἷος σταθμοῖς ἔνι φέρβεται, οὐδὲ μὲν οἷος
ὦλκα διατμήγει σύρων εὐκαμπὲς ἄροτρον,
οὐδ' οἷος ποίμνης ἔπι βόσκεται, οὐδὲ μὲν οἷος
ὅστις ὑποδμηθεὶς ἐρύει πολύφορτον ἀπήνην.
τοῦ δ' ἤτοι τὸ μὲν ἄλλο δέμας ξανθόχροον ἔσκε,
κύκλος δ' ἀργύφεος μέσσῳ μάρμαιρε μετώπῳ,
ὄσσε δ' ὑπογλαύσσεσκε καὶ ἵμερον ἀστράπτεσκεν,
ἶσά τ' ἐπ' ἀλλήλοισι κέρα ἀνέτελλε καρήνου,
ἄντυγος ἡμιτόμου κεραῆς ἅτε κύκλα σελήνης.
ἤλυθε δ' ἐς λειμῶνα καὶ οὐκ ἐφόβησε φαανθείς
παρθενικάς, πάσῃσι δ' ἔρως γένετ' ἐγγὺς ἱκέσθαι,

74. ἦ γὰρ m. — ὥς pro ὡς f. n. s., Fort. etiam m. — ἐόλητο] f. m. n. ἐβέβλητο vulg. In f. leguntur in summa pag. haec: ἐτετάρακτο. καὶ ὅμηρος ἡ μὲν ὀρῶσ' ἐόλητο. αἰολῶ αἰολήσω ἠόληκα — ἠόλητο ἰωνικῶς κατὰ συστολὴν αἰόλητο. ἔστι κατὰ συνίζησιν μετρούμενον. οὕτω μὲν οὖν ἐγώ.

75. βελέεσσι] f. m. n. s. r. vulg.

76. δαμάσαι n. r. Ald.

77. τοὶ γὰρ Iunt. Call. Herm. τοί γαρ a sec. super δὴ γὰρ r.

78. τ' om. m. n.

79. γίνετο] s. γίγνετο vulg. γέντο f. γείνετο Ahrens. γίνεται n. γίνηται aut γίνεται m.

80. ἔνι φέρβεται] Herm. ἐνιφέρβεται vulg. — οὐδέ μεν m. n. In priori litterarum notae sunt eae, ut etiam οὐδέμας legi possit.

81. 82. Desunt hi versus in s. r. Ald. Call. — διατμήγει] f. m. n. διατμήσσει Iunt. — οὐδ' ὁποῖος m. n. — ποίμνης] f. Iunt. ποίμνῃς vulg. ποίῃ coni. Meinek. ποίῃς Carol. Hartung. — ἔπι βόσκεται] Ahrens. ἐπιβόσκεται vulg. ποίμνῃς ἔνι βόσκ— Herm. — οὐδέ μεν m. n. Iunt.

83. Pro ὅστις Herm. ἄστυδ'. Ahrens coni. μάστι. αὐχέν' Iacobs. et Ameis. Meinek. οὐδὲ μὲν οὐδέ | οἷος. — ἐρύει om. n.

84. δή τοι m. Ahrens. — ἔσκε] m. n. ἔσκεν vulg.

85. 86. Desunt in s. Ald. Call. In r. deest 85., 86. est infra a sec. additus. — ὑπογλαύσσεσκε] Valck. praeeunte Casaubono, qui ὑπογλαύσεσκε. ὑπογλαύκεσκε f. vulg. ὑπογλαύδεσκε m. n. (in m. forma litterae δ ea est, ut etiam pro σ haberi possit.) ὑπογλαίκεσκε (υ superscr.) r. ὑπὸ γλαύσσεσκε Ahrens. ὗπο γλ— Hartung. — καὶ] f. δι' m. n. r. Iunt. γὲ Urs. — ἀστράπτεσκεν] Meinek. ἀστραπέεσκε f. ἄστραπτοντε r. Iunt., ille superscr. διαστράπτοντε ἔρωτα. In m. apparet adhuc ἀστρα, reliqua ev., in n. est lacuna post ἀστρα.

87. ἶσα τ' f. m. Iunt. Call. ἶσα δ' Herm. — καρήνω m. n.

88. ἄντα pro ἄντυγος s. αὖτα Ald. αὐτὰ r. Call. — κεραίην ἡμιτόμου s. r. Ald. Call. — κυκλ (tum ev.) m. In n. post κυ lacuna.

90. παρθενικαῖς πάσαις δὲ m. n. — ἱκέσθαι in m. ev., om. n.

ψαῦσαί θ' ἱμερτοῖο βοός· τοῦ δ' ἄμβροτος ὀδμή
τηλόθι καὶ λειμῶνος ἐκαίνυτο λαρὸν ἀυτμήν.
στῆ δὲ ποδῶν προπάροιθεν ἀμύμονος Εὐρωπείης,
καί οἱ λιχμάζεσκε δέρην, κατέθελγε δὲ κούρην.
ἡ δέ μιν ἀμφαφάασκε καὶ ἠρέμα χείρεσιν ἀφρόν
πολλὸν ἀπὸ στομάτων ἀπομόργνυτο καὶ κύσε ταῦρον.
αὐτὰρ ὁ μειλίχιον μυκήσατο· φαῖό κεν αὐλοῦ
Μυγδονίου γλυκὺν ἦχον ἀνηπύοντος ἀκούειν.
ὤκλασε δὲ πρὸ ποδοῖιν, ἐδέρκετο δ' Εὐρώπειαν
αὐχέν' ἐπιστρέψας καί οἱ πλατὺ δείκνυε νῶτον.
ἡ δὲ βαθυπλοκάμοισι μετέννεπε παρθενικῇσι·
Δεῦθ' ἑτάραι φίλιαι καὶ ὁμήλικες, ὄφρ' ἐπὶ τῷδε
ἑζόμεναι ταύρῳ τερπώμεθα· δὴ γὰρ ἁπάσας
νῶτον ὑποστορέσας ἀναδέξεται οἷά τ' ἐνηής
πρηύς τ' εἰςιδέειν καὶ μείλιχος, οὐδέ τι ταύροις
ἄλλοισι προςέοικε· νόος δέ οἱ ἠύτε φωτός
αἴσιμος ἀμφιθέει, μούνης δ' ἐπιδεύεται αὐδῆς.
Ὣς φαμένη νώτοισιν ἐφίζανε μειδιόωσα,
αἱ δ' ἄλλαι μέλλεσκον. ἄφαρ δ' ἀνεπήλατο ταῦρος,

91. ψαῦσαι δ' f. m. n. s. r. Ald. τέ a sec. super δ' r. — τοῦ δ'] f. m. n. Iunt. τοῦ vulg. — ὀδμή r. Ald. Call.

92. ἀυτμήν om. n., in m. apparet αυ.

93. ἀμειίμονος n., υ e corr. m.

94. λιχμάζεσκε] f. m. n. s. Steph. vulg. λικμάζεσκε r. Ald. Iunt. λικμάζεσχε Call. — δέριν f. Ameis. Ahrens. — κούρην in m. ev.

95. ἡ δέ] m. r. vulg. — ἀμφϊφάασκε f. ἀμφαφάεσκε n. ἀμφάφασκε r. Ald. — ἠρέμα r. Antt. ante Brub. — χερσὶν f.

96. ἀπεμόργνυτο Iunt. — κύσε] f. m. s. r. Ald. Iunt. κύε Call. In n. post ἀπομόργνυτο lacuna, in m. καὶ et ταῦρον ev.

97. ὁ] vulg. ὃ Codd. et Antt. — μυκήσατο] f. m. n. s. μυκάσατο vulg. — φαῖό κεν] Meinek. φαῖε κεν f., in marg. συστολή, et γρ. φαιο. φαίεκεν m. φαίης κεν s. (hic φαίης corr. e φαῖης.) r. Ald. φαίης κ' Iunt. Call. φαίης n. et f. in marg.

98. μυγδόνιον m. n. — γλυκὺν] m. n. λιγὺν vulg. — Post ἦχον in n. lacuna, in m. apparet ἀν.

100. αὐχένα r. — ἐπαντρέψας corr. in ἐπιστρ— s. — Post πλα m. ev.

101. ἡ δὲ] m. r. vulg. ἠδὲ f.

102. δεῦτ' — φίλαι m. n. — τῷδε in m. ev.

104. οἷά τ' ἐνηής] v. l. in f. Idem coniecerat Briggs. οἷά τ^ε νηῦς (super νηῦς scripto τις) f. οἷά τε νηῦς m. n. — νηΰς Iunt. Call. — νῆα s. r. Ald.

105. τ' εἰσιδέειν] (ει a sec.) n. τ' ἐσιδέειν m. τις ἰδέειν f. εἰσιδέειν s. r. Ald. πρηῦς ὀδ' εἰσιδέειν Iunt. — ὅδ' εἰσιδέειν Call. — δ' εἰσιδέειν Herm. — ἀμείλιχος n. In m. sec. delevit α.

107. ἀμφιθέειν Herm. ἀμφὶς ἰδεῖν aut ἀμφιχυθεὶς coni. Meinek. Mihi venit in mentem ἐν φρεσίν ἐστι, μόνης — memori illius τῆς ἐν μὲν νόος ἐστὶ μετὰ φρεσίν, Homer. Il. XVIII, 419. Sed offendor forma μόνης.

109. ἄλλαι^γε n. — μέλεσκον f. μελέσκον m. n. — ἀνεπήλατο] f. m. n. ἀνεπήλλατο (η corr., ut videtur, ex ι et cum puncto sub

ἣν θέλεν ἁρπάξας· ὠκὺς δ' ἐπὶ πόντον ἵκανεν.
ἡ δὲ μεταστρεφθεῖσα φίλας καλέεσκεν ἑταίρας
χεῖρας ὀρεγνυμένη, ταὶ δ' οὐκ ἐδύναντο κιχάνειν.
ἀκτάων δ' ἐπιβὰς πρόσσω θέεν ἠύτε δελφίς,
χηλαῖς ἀβρέκτοισιν ἐπ' εὐρέα κύματα βαίνων.
ἡ δὲ τότ' ἐρχομένοιο γαληνιάασκε θάλασσα,
κήτεα δ' ἀμφὶς ἄταλλε Διὸς προπάροιθε ποδοῖιν,
γηθόσυνος δ' ὑπὲρ οἶδμα κυβίστεε βυσσόθε δελφίς.
Νηρεΐδες δ' ἀνέδυσαν ὑπὲξ ἁλός, αἱ δ' ἄρα πᾶσαι
κητείοις νώτοισιν ἐφήμεναι ἐστιχόωντο.
καὶ δ' αὐτὸς βαρύδουπος ὑπεὶρ ἅλα Ἐννοσίγαιος
κῦμα κατιθύνων ἁλίης ἡγεῖτο κελεύθου
αὐτοκασιγνήτῳ· τοὶ δ' ἀμφί μιν ἠγερέθοντο
Τρίτωνες, πόντοιο βαρύθροοι αὐλητῆρες,
κόχλοισιν ταναοῖς γάμιον μέλος ἠπύοντες.
ἡ δ' ἄρ' ἐφεζομένη Ζηνὸς βοέοις ἐπὶ νώτοις
τῇ μὲν ἔχεν ταύρου δολιχὸν κέρας, ἐν χερὶ δ' ἄλλῃ
εἴρυε πορφυρέην κόλπου πτύχα, ὄφρά κε μή μιν
δεύοι ἐφελκόμενον πολιῆς ἁλὸς ἄσπετον ὕδωρ.
κολπώθη δ' ἀνέμοισι πέπλος βαθὺς Εὐρωπείης,

priori λ) r. ἀνεπίλλατο s. Ald. ἀνεπίλνατο Call. ἀνεπίδνατο Iunt.

110. ἣν θέλεν] f. m. n. s. vulg. ἣν θέλε r.

111. ἡ δὲ] f. m. n. s. r. vulg. — μεταστραφθεῖσα Ald. ε super α r.

112. ἠδύναντο r. Ald.

113. πρόσ^{σ}ω f. πρόσω m. n. r. Ald.

114—117. vulgo desunt praeter f. m. n. — ἀβρέκτοισιν] f. m. n. ἀβρεκτοῖσιν Ahrens.

115. ἡ δὲ] m.

116. κήτεα δ'] f. κήτεα τ' m. n.

117. κυβίστεε] f. κυβίστ^{ε} m. κυβίστι' n. — βυσσόθε] Meinek. βυσόθε m. ἀβυσσόθε n. βυσσόθι f.

118. ἀνέβησαν m. n. — ὑπὲξ] Ameis. auctore Spitznero. Et sic s. ὑπ' ἐξ f. m. n. r. Call. ὑπεξαλός Iunt. — αἱ δ'] f. Bas. II. vulg. αἶδ' m. n. Antt. αἲδ' r. αἶδ' s.

119. ἐφ' ἥμεναι f. — ἐστιχόωντο] f. m. n. s. Iunt. vulg. ἀντεχόωντο r. Ald. ἀντοχέωντο Call.

120. βαρύγδουπος r. Ald. Iunt. — ἅλα] m. n. ἁλὸς vulg.

121. κύματ' ἰθύνων m. κύματα ἰθύνων (τα a sec.) n.

123. βαρύθροοι] f. βαθύθροοι m. n. s. r. (a pr.) Ald. βαθυρρόου Iunt. Call. In r. sec. alterum θ delevit et supra οι scripsit ου. — αὐλητῆρες] f. m. n. Iunt. ἐνναετῆρες vulg.

124. κόχλοισι f. m. n. r. Ald.

125. ἡ δ'] f. vulg. ἤδ' m. n. Iunt. ἤδ' Call. — ἐφ' ἐζομένη f.

126. ἔχε f.

127. εἴρυε m. εἴρεε r. Ald. εἴρε corr. in εἴρυ^{ε} s. — πορφυρέην et πτύχα] f. m. n. πορφυρέας et πτύχας vulg. — στολμοῦ Ahrens. — κε μή μιν] Gaisford. κε μὴ μὶν f. κε νηῶν m. n. s. r. Antt. In r. super νηῶν scriptum est ἴη.

128. δεύοι ἐφελκόμενον] f. m. n Iunt. ἐν δέ οἱ ἑλκόμενον s. r. Ald. ἐνδεύη ἑλκόμενον Call.

129. ἀνέμοισι] conii. Salmas.,

ἱστίον οἷά τε νηός, ἐλαφρίζεσκε δὲ κούρην.
ἡ δ' ὅτε δὴ γαίης ἀπὸ πατρίδος ἦεν ἄνευθεν,
φαίνετο δ' οὔτ' ἀκτή τις ἁλίρροθος οὔτ' ὄρος αἰπύ,
ἀλλ' ἀὴρ μὲν ὕπερθεν, ἔνερθε δὲ πόντος ἀπείρων,
ἀμφί ἑ παπτήνασα τόσην ἀνενείκατο φωνήν·
Πῇ με φέρεις θεόταυρε; τίς ἔπλεο; πῶς δὲ κέλευθον
ἀρπαλέην νεπόδεσσι διέρχεαι, οὐδὲ θάλασσαν
δειμαίνεις; νηυσὶν γὰρ ἐπίδρομός ἐστι θάλασσα
ὠκυάλοις, ταῦροι δ' ἁλίην τρομέουσιν ἀταρπόν.
ποῖόν τοι ποτὸν ἡδύ; τίς ἐξ ἁλὸς ἔσσετ' ἐδωδή;
ἦ ἄρα τις θεός ἐσσι; θεοῖς δ' ἐπεοικότα ῥέζεις.
οὔθ' ἅλιοι δελφῖνες ἐπὶ χθονὸς οὔτέ τι ταῦροι
ἐν πόντῳ στιχόωσι, σὺ δὲ χθόνα καὶ κατὰ πόντον
ἄτρομος ἀίσσεις, χηλαὶ δέ τοί εἰσιν ἐρετμά.
ἦ τάχα καὶ γλαυκῆς ὑπὲρ ἠέρος ὑψόσ' ἀερθείς
εἴκελος αἰψηροῖσι πετήσεαι οἰωνοῖσιν.
ὤμοι ἐγὼ μέγα δή τι δυςάμμορος, ἦ ῥά τε δῶμα
πατρὸς ἀποπρολιποῦσα καὶ ἑσπομένη βοῒ τῷδε
ξείνην ναυτιλίην ἐφέπω καὶ πλάζομαι οἴη.

Lennep., Pierson. *ὤμοισι* libri. *οὔροισι* voluit Schaefer.

130. *ἱστία* r. Ald.

131. *ἡ δ'*] f. vulg. *ἦδ'* m. n. s. r. Iunt. Call. — *ἄπο* Wint. — *ἄνευθε* f.

132. *ἁλίρροθος*] f. n. *ἀλλίροθος* m. pr., *ἁλίροθος* m. sec. *ἁλίρρ*^{o} (aut *ἀλλί—*) s. *ἁλίρροος* vulg.

133. *ἀλλ' ἀ ἀὴρ* m. n. — *ἄνωθεν* m. n.

134. *ἀμφί ἑ*] r. Call. *ἀμφὶ ἑ* Iunt. *ἀμφί ἑ* s. *ἀμφὶ ἓ* f. m. n. — *τόσην*] f. m. n. s. r. Ald. Call. *τοίην* Iunt. *τορὴν* coni. Carol. Hartung. — *ἀνε—νήκατο* m. n.

135. *ἔπλετο* m. n.

136. *ἀρπαλέην νεπόδεσσι*] Meinek. *ἀργαλέην πόδεσσι* m. *ἀργαλέην*^{γε} *πόδεσσι* n. *ἀργαλέοισι πόδεσσι* vulg. *κέλευθα ἀργαλέ' εἰλιπόδεσσι* Ahrens.

137. *νηυσὶ* f. m. n. r. Ald. Call. — *ἐπίδρομος ἐστὶ* m. n.

139. *ποῖον* f. m. n. — *τοι*] Herm. *σοι* vulg. — *τι* pro *τίς* m. n.

140. *ῃ ἄρα τις θεός ἐσσι*] f. (nisi quod *τίς*.) *ἦ ἄρα τίς θεὸς ἔσσι* m. *ἦ ἄρα τὶς θεὸς ἐσσὶ* n. *ἦ ῥὰ τὶς ἐσσὶ θεὸς* r. *η ῥά τίς ἐσσι θεός* Autt. *ἦ ῥά τις ἐσσὶ θεός* s. Mor. vulg. — Post *ἐσσι θεὸς* Antt. colon habent. — *θεοὶς δ' ἐπεοικότα*] f. *θεῶ δ' ἐπεοικότα* n. *θεῶ δ' ἐπεοικότι* m. *τί θεοῖς ἀπεοικότα* vulg. *τϊ θεοὶς δ' ἀπ—* s.

141. *οὐδ'* f. m. n. — *οὔτέ τι*] Iunt. Call. *οὔτε τι* vulg.

142. *στιχόωσι*] f. m. n. *στείχουσι* vulg.

143. *ἄτρομος*] f. m. n. *ἄβροχος* vulg. — *δέ τοι εἰσὶν* f. r. *δέοι εἰσιν* m. *δέ οἱ εἰσὶν* n.

144. *ἦ* m. — *γλαύκης* m.

145. *εἴκελος*] *εἴκελος* f. *ἴκελος* m. s. Steph. vulg. *ἴκελος* r. Antt. — *πετήσεαι*] Iunt. *ποτ—* vulg. — *οἰωνῆσιν* superscr. *οι* m.

146. *ὤμοι*] f. m. n. s. r. *οἴμοι* vulg. — *δή τοι* f. *δή τι* e ras. n. — *ῃ ῥ' ἆτε* n. *ἦ ῥά ἓ* m. — *σῶμα* r. Ald. Iunt.

147. *ἄπο πρ—* f. Ald. Iunt. — *ἑπομένη* r. *ἑπο—* Ald.

148. *πελάζομαι* f.

ἀλλὰ σύ μοι μεδέων πολιῆς ἁλὸς Ἐννοσίγαιε
ἵλαος ἀντιάσειας, ὃν ἔλπομαι εἰσοράασθαι
τόνδε κατιθύνοντα πόρον προκέλευθον ἐμεῖο.
οὐκ ἀθεεὶ γὰρ ταῦτα διέρχομαι ὑγρὰ κέλευθα.
Ὣς φάτο· τὴν δ' αὖτε προσεφώνεεν ἠύκερως βοῦς·
θάρσει παρθενική, μὴ δείδιθι πόντιον οἶδμα.
αὐτός τοι Ζεύς εἰμι, καὶ ἐγγύθεν εἴδομαι εἶναι
ταῦρος, ἐπεὶ δύναμαί γε φανήμεναι ὅττι θέλωμι.
σὸς δὲ πόθος μ' ἀνέηκε τόσην ἅλα μετρήσασθαι
ταύρῳ ἐειδόμενον· Κρήτη δέ σε δέξεται ἤδη,
ἥ μ' ἔθρεψε καὶ αὐτόν, ὅπῃ νυμφήια σεῖο
ἔσσεται· ἐξ ἐμέθεν δὲ κλυτοὺς φιτύσεαι υἷας,
οἳ σκηπτοῦχοι ἄνακτες ἐπιχθονίοισιν ἔσονται.
Ὣς φάτο· καὶ τετέλεστο τά περ φάτο. φαίνετο μὲν δή
Κρήτη, Ζεὺς δὲ πάλιν σφετέρην ἀνελάζετο μορφήν,
λῦσε δέ οἱ μίτρην, καί οἱ λέχος ἔντυνον Ὧραι.
ἡ δὲ πάρος κούρη Ζηνὸς γένετ' αὐτίκα νύμφη,
καὶ Κρονίδῃ τέκε τέκνα καὶ αὐτίκα γίνετο μήτηρ.

150. ἀντήσειας m. n. — ὃν] f. om. vulg. — ἔλπομαι] v. l. in n. ἔλπομαι m. s. r. Ald. ἐέλπομαι Call. ἐέλπομαι vulg. τέρπομαι (superscr. ἔλπ—) n.

151. πόρον] Ahrens. πόντον m. n. πλόον vulg. — προπάροιθεν m. n. — ἐμοὶ r.

153. αὖτε] n. αὖ ὅγε m. ὧδε vulg. — ἠύκερως] f. m. n. εὐρύκερως vulg.

154. δείδιε πόντοιο r.

155. Ζεὺς εἰμὶ m. n. r. vulg. — κεἰ Meinek. — ἐγγύθι s. r. Ald. — εἴδομαι εἶμεν n. εἴδομαι ἠμέν m. — ημεν s. εἰδόμενός περ Herm. Hartung. εἰ δοκέω μέν Ahrens.

156. ταύρῳ Hart. ταῦρος ἔμεν· δύν— Herm. — γε a sec. s. δὲ Herm. — φανῆναι s. r. Ald. — ὅττι θέλωμι] Herm. ὅττι θέλοιμι m. n. ὅττι κε θέλοιμι f. ὅττ' ἐθέλοιμι vulg.

157. μ' om. r. Ald. — ἀνέηκε] f. n. ἀνέοικε m. ἐνέηκε vulg.

158. ταύρῳ] Gaisford. ταύρω m. n. ταῦρον vulg.

159. ἥ με ἔθρ— r. Call. — ὅπῃ] Wint. ὅπη f. m. n. s. ὅπα (ὅπᾳ) vulg.

160. κλειτοὺς s. r. Ald. κλεινοὺς Call. — φιτύσεαι] f. φιτύσσεαι s. φητῆσαι m. φύσσεαι r. Ald. Call. φύσεις n. μάλα φύσσεαι Iunt.

161. ἄνακτες] Herm. et Hecker. ἅπαντες f. m. n. s. r. Ald. Iunt. ἅπασιν Call. — ἐπὶ χθο—σιν Ahrens ἐπιχθ—σι r. — Post hunc v. Herm. putat versum excidisse.

162. μέν γε n.

163. Κρήτη, Ζεὺς δὲ πάλιν om. n., m. ev. — σφετέρην] f. m. n. ἑτέρην vulg.

164. λύσε m. λύσαι n. λῦσαι r. Ald. — μίτραν n. — ἔντυνον] m. n. ἔντυνον vulg.

165. ἡ δὲ πάρος κούρη Ζηνὸς om. n., in m. apparent πάρος et ος. — πατρὸς s. r. Ald. Iunt.

166. τέκε τέκνα] n. τέκε τέκνεα m. τέκνα τίκτε vulg. — αὐτόθι Herm. — γείνετο Ahrens. γένετο r. Ald. Call. γε corr. in γι m. — Versum damnavit Valck. — In fine μόσχου σικελιώτου εὐρώπης στίχοι ρ̄ ξ̄ ϛ̄ f. τέλος μόσχου σικελιώτου εὐρώπης s.

ΕΠΙΤΑΦΙΟΣ ΒΙΩΝΟΣ.

Γ΄.

Αἴλινά μοι στοναχεῖτε νάπαι καὶ Δώριον ὕδωρ,
καὶ ποταμοὶ κλαίοιτε τὸν ἱμερόεντα Βίωνα.
νῦν φυτά μοι μύρεσθε, καὶ ἄλσεα νῦν γοάοισθε,
ἄνθεα νῦν στυγνοῖσιν ἀποπνείοιτε κορύμβοις.
νῦν ῥόδα φοινίσσεσθε τὰ πένθιμα, νῦν ἀνεμῶναι,
νῦν ὑάκινθε λάλει τὰ σὰ γράμματα καὶ πλέον αἰαῖ
λάμβανε τοῖς πετάλοισι· καλὸς τέθνακε μελικτάς.
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.
ἀδόνες αἱ πυκινοῖσιν ὀδυρόμεναι ποτὶ φύλλοις,
νάμασι τοῖς Σικελοῖς ἀγγείλατε τᾶς Ἀρεθοίσας,
ὅττι Βίων τέθνακεν ὁ βουκόλος, ὅττι σὺν αὐτῷ
καὶ τὸ μέλος τέθνακε καὶ ὤλετο Δωρὶς ἀοιδά.
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.

III. Libri: Vat. 913. (h.) Vat. 1311. (11.a., vs. 35 — fin. 11.b.; ubi ambo inter se consentiunt 11.) Vat. 1379. (18.) Medic. 37. (p.) Medic. 16. (s.) Medic. 43. (r.) Medic. 15. (w. Vs. 1—15.) Ambros. 75. (c.)

Ἐπιτάφιος Βίωνος] addito *βουκόλου ἐρωτικοῦ* h. 11. p. Antt. (*Βίονος* Iunt.) *Θεοκρίτου ἐπιτάφιος βίωνος βουκόλου ἐρωτικοῦ* s. *Θ. ἐπιτάφιος βίωνος βουνόμου ἐρωτικοῦ. δωρίδι* 18. — *δορίδι* c. *ἐπιτάφιος εἰς βίωνα βουνόμον ἐρωτικόν* r., in marg. *Θεοκρίτου* et ab alia manu *μαθητὴς γὰρ αὐτοῦ τις συνέθετο. Μόσχου ἐπιτάφιος Βίωνος* Urs., sine titulo w.

2. *κλαίοιτε*] Iunt. Call. *κά οιτε* (λ superscr.) 18. *κλάοιτε* r. c. *κλάοιτε* in marg. 18. *κλαάοιτε* h. 11.a. p. Ald. *καλάοιτε* s. *κάλαοίτε* superscr. *γρ. κλααοιτε* w. — *καὶ τὸν* 18. (in marg. *τὸν*.) c.

3. *νῦν* om. r. — *γοάησθε* r. sup. et Ald. *γοάοιτε* r. Call.

4. *νῦν*] s. h. sec. et vulg. om. h. pr. 11.a. p. r. w. Ald. *τε* c., induct. et a sec. superscr. *νῦν* 18. — *στυγνῆσιν* h. — *ἀποπνέοιτε* p. r. w., *ι* a sec. additum h. *ὑποπνείοιτε* Mor.

5. *ἀνεμῶναι*] coni. Valck. *ἀνεμῶνα* 11.a. Ald. Call. *ἀνέμωνα* (η superscr.) c. *ἀνεμώνα* (ut fort. r.) vulg.

6. *καὶ* a sec. 18. om. c. — *αἰαῖ*] Meinek. *αἶ αἶ* (fort. a sec.) s. *αἲ αἲ* vulg.

7. *βαμβαλε* Herm. Meinek. e coni. Valck. — *τοῖς*] p. s. w. Ald. *σοῖς* vulg. — *τέθνακε*] 11.a., a sec. h. *τέθνηκε* h. pr. 18. p. s. r. w. c. Antt.

8. *καὶ* post *σικελικαὶ* p., item v. 13. 19. 25. 36. 46. — *πένθ*ο p. et sic porro. — Vs. 8—12. desunt in 11.a.

9. *ἀδόνες* 18. — *αἳ* 18. p. r. Iunt. *αἵ* w. — *πετάλοισι* (sed induct.) ante *ποτὶ* 18.

10. *τοῖς Σικελοῖς*] 18. marg. Iunt. Call. *τοῖς σικελ οῖς* s. *τοῖς σικελικοῖς* p. r. w. Ald. *τῆς σικελικῆς* superscriptis *οῖς* h. *σικελικοῖς* 18. c. — *τᾶς Ἀρεθοίσας*] 18. w. *τὰς ἀρεθοίσας* c. *τῆς ἀρεθούσης* h. p. s. r. Antt.

11. *τέθνακεν*] Wint. *τέθνηκεν* h. 18. p. s. r. w. Antt. — *βουκόλος*] p. r. Antt. *βωκόλος* h. 18. s. Mor. vulg. *βοκόλος* c.

12. *τέθνακε*] h. 18. p. s. r. w. c. vulg. — *ἀοιδή* r.

13. *ου* super *τῶ* 18. et sic porro.

Στρυμόνιοι μύρεσθε παρ' ὕδασιν αἴλινα κύκνοι,
καὶ γοεροῖς στομάτεσσι μελίσδετε πένθιμον ᾠδάν,
οἵαν ὑμετέροις ποτὲ χείλεσι γῆρυν ἄειδεν.
εἴπατε δ' αὖ κούραις Οἰαγρίσιν, εἴπατε πάσαις
Βιστονίαις Νύμφαισιν, ἀπώλετο Δώριος Ὀρφεύς.
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.
κεῖνος ὁ ταῖς ἀγέλαισιν ἐράσμιος οὐκέτι μέλπει,
οὐκέτ' ἐρημαίαισιν ὑπὸ δρυσὶν ἥμενος ᾄδει,
ἀλλὰ παρὰ Πλουτῆι μέλος Ληθαῖον ἀείδει.
ὤρεα δ' ἐστὶν ἄφωνα, καὶ αἱ βόες αἱ ποτὶ ταύροις
πλαζόμεναι γοάοντι καὶ οὐκ ἐθέλοντι νέμεσθαι.
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.
σεῖο Βίων ἔκλαυσε ταχὺν μόρον αὐτὸς Ἀπόλλων,
καὶ Σάτυροι μύροντο μελάγχλαινοί τε Πρίηποι·
καὶ Πᾶνες στοναχεῦντι τὸ σὸν μέλος, αἵ τε καθ' ὕλαν
Κρανίδες ὠδύραντο, καὶ ὕδατα δάκρυα γέντο.
Ἀχὼ δ' ἐν πέτραισιν ὀδύρεται, ὅττι σιωπῇ

14. [μ] *γύρεσθε* h. — *ὕδασι κἴλινα* 11.a

15. *γοερὰν* 11.a *γοργοῖς* c. — *ὠδήν* superscr. *αν* 11.a

16. Reliqui vulgatam. *οἵαν*] s. Call. *οἵαν ἐν* h. (hic deleto a sec. *ἐν*.) 11.a 18. r. Iunt. *οἵαν ἐν* p. Ald. *οἷα ἐν* c. — *ὑμετέροις*] 18. p. s. Call. *ὑμετέροισι* 11.a et a sec. h. *ἡμετέροις* r. Ald. Iunt. et superscr. *υ* c. *ἡμετέροισι* h. a pr. — *ποτὲ*] Iunt. *ποτὶ* h. (a sec. superscr.) 18. s. r. c. Ald. Call. *ποσὶ* p. om. 11.a et h. pr. — *γῆρυν*] Call. *γῆρυς* h. 11.a 18. p. s. c. Ald. et superscr. a sec. *ν* r. *γῦρυς* Iunt. *ἄειδε* h. 11.a — *οἷαν ἐν ὑμετέροις ποτὲ κήδεσι γῆρυς ἄειδεν* Ahrens. *οἷα ἐν ὑμετέροις ποτὲ χείλεσι γῆρυς ἀΰτει* Hartung. *οἷαν ὑμετέροις ποτ' ἐν ἄλγεσι γῆρυς ἄειδεν* coni. Th. Fritzsch. — Heskin. aliique versum spurium iudicaverunt. Herm. posuit eum post v. 20. ita emendatum *οἷά οἱ ἱμερτοῖς ποτὲ χείλεσι γῆρυς ἄειδεν.*

17. *κούραις*] h. 11.a p. s. r. Antt. *κώραισιν* 18. c. — *οἰάγρυσιν* 11.a *οἰαγροίσι* corr. in *οἰαγρίσι* h. *οἰαγροῖσιν* 18. in marg. *ἐν ἀγροῖς* 18. (in textu.) c.

18. *βυστονίαις* 11.a p., *υ* corr. a sec. in *ι* h.

20. *παῖς ἀγέλησιν* p. — *ἐρασμένος* c. — *οὐκ ἔτι* 11.a 18.

21. *οὐκ ἔτ'* c. *οὐκ ἔτι* 11.a 18. — *ἐρημαίαισιν*] 18. e corr. p. s. c. *ἐρημαίοισιν* 18. pr. *ἐρημαίησιν* 11.a Ald. Call. *ἐρημαίῃσιν* h. r. Iunt.

22. *περὶ* p. — *Ληθαῖον*] Letheum Wins. *ληθαῖον* h. (a sec.) s. Iunt. [η] *λιθαῖον* 11.a *λήθαιον* p. r. Ald. Call. *λήθεον* (? dubito de *ε*) h. pr. — Versus deest in 18. c.

23. *οὗρεα* r. — *ἔστιν* r. c. — *αἳ ποτὶ* Iunt. *αἳ ποτὶ* e corr., fuerat *ποτε* h. *αἵ ποτε* 18. pr. p. c. *αἵ ποτέ* (ʽ a sec.) r. *αἱ ποτὲ* Herm. Servavi interea vulgatam, quae est in 11.a s. et 18. marg. *αἱ ποτ' ἀναύροις* scripsit Meinek. *αἵ ποτε γαύρως* Ahrens.

24. *πλαζόμεναι*] h. 11.a 18. p. s. r. c. Antt. — *ἐθέλουσι νέεσθαι* p.

25. [οῖ] *μοῦσαι* r.

26. *βίον* p.

27. *μελάγχαινοί* p. Idem postea *στοναχεῦτι.*

28. *πάνες* p. r. Ald. *πάντες* h. 11.a

29. *ὀδύραντο* r. — *ὕδατο* c.

30. *ἀχώ δ'* p. s. *ἀχώ σ'* c. — *πέ-*

κοὐκέτι μιμεῖται τὰ σὰ χείλεα. σῷ δ' ἐπ' ὀλέθρῳ
δένδρεα καρπὸν ἔριψε, τὰ δ' ἄνθεα πάντ' ἐμαράνθη.
μάλων οὐκ ἔρρευσε καλὸν γλάγος, οὐ μέλι σίμβλων,
κάτθανε δ' ἐν κηρῷ λυπεύμενον· οὐκέτι γὰρ δεῖ
τῶ μέλιτος τῶ σῶ τεθνακότος αὐτὸ τρυγᾶσθαι.
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.
οὐ τόσον εἰναλίαισι παρ' ᾐόσι μύρατο δελφίν,
[οὐδὲ τόσον πόκ' ἄυσεν ἐνὶ σκοπέλοισιν ἀηδών,
οὐδὲ τόσον θρήνησεν ἀν' ὤρεα μακρὰ χελιδών,]
ἀλκυονὶς δ' οὐ τόσσον ἐπ' ἄλγεσιν ἴαχε κῆυξ,
[ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.]
οὐδὲ τόσον γλαυκοῖς ἐνὶ κύμασι κηρύλος ᾆδεν,
οὐ τόσον ἠῴοισιν ἐν ἄγκεσι παῖδα τὸν Ἀοῦς

τραισιν] Ameis. πέτρῃσιν vulg. — ὠδύρεται 18. — ὅτι 11.a. 18. p. — σιωπῇ] 18. Ald. Iunt. σιωπῆ s. Call. et superscr. α h. r. σιωπᾶ c. et superscr. η p. σιω cum lacuna 11.a. σιωπῆς Valck.

31. κοὐκ ἔτι 18. c. οὐκ ἔτι 11a. οὐκέτι h.

32. καρποὺς c. — ἔρριψε 18. et e corr. (fuerat —ψαν) c. — Post hunc v. statuit Herm. lacunam trium versuum.

33. ἔρευσε 11.a. p.

34. κάτθανε δ'] 11.a. s., a sec. h., e corr. 18. κάτθανεν p. r. c., a pr. h. 18. Antt. — κηρῷ] 18. Iunt. κηρῶ h. Ald. κηρῶ 11.a. p. s. r. c. Call. — λιπευμένον c. — οὐκ ἔτι 11.a. 18. c. — αἴει pro δεῖ c.

35. τοῦ μ. τοῦ σοῦ p. s., ου ter super ω h. 18. r. — αὐτὸ om. Ald. ἄλλο Call.

37. εἰναλίαισι] 11.b. p. s. r. et e corr. 18. vulg. —αισιν 18. pr. —ησι 11.a. —ῃσι h. Ἰασίῃσι Herm. — ᾐόσι] Mor. ἠιόσι 18. ἠόσι h. 11. p. s. r. c. Antt. — μύρατο δελφίν] s., a sec. h., in marg. 18. Iunt. Call. μ. δέλφιν Ald. μ. δὲ πρίν p. μύρατό σε πρίν h. pr. 11.b. r. (hic deleto πρίν et substituto δελφίν.) Ald. α. μύρατό γε πρίν 18. μύρατο γέ πρίν c. μύρα cum lacuna 11.a.

38. πόκ' ἄυσεν] ποκ' ἄυσεν 11.a., ποκᾶ^αν υσ^εν h. πόκ' ἄεισεν 11.b. 18. r. Antt. ποκ' ἄεισεν vulg. πόκ' ἄειδεν c. ποτ' ἄεισεν p. ποτάεισεν s. — ἀηδῶν 11.b. ἀητός Ahrens. correpta prima syllaba ut in phaen. Arati v. 314.

39. οὔρεα r. — χελιδὼν non minus suspectum est quam ἀηδὼν vel propter v. 47. — Ahrens. versum damnavit. Peiper. et Fritzsch. delent 38 et 39. Recte, opinor.

40. ἀλκυονὶς] Ahrens. ἀλκυόνος vulg. ἀλκύονος Ald. Ἀλκυόνα Herm. — ἄλγεσιν s. ἄλγεσι h. — ἴαχε] 11. 18. c. Ald. α. ἴαχετο p. ἴσχεν h. ἴσχετο s. r. Ald. Iunt. Call. — κῆυξ] r. et ducto per ~ acuto 18 in marg. κήυξ Ald. Iunt. Call. κῆρυξ h. (ducto per ~ acuto.) 11.a. Ald. α. κήρυξ a sec. et fort. deleto ρ s. κεῖρυξ 11.b. κείρυξ c. κόρυξ 18. κ' ρηξ p. (sic: ἴαχετοκ 'ρηξ.) ὅτ' ἄλγεσιν ἴσχετο Κήυξ Herm.

41. Versus deest in h. 11. 18. p. s. r. c. Ald. α.

42. κυρύλος c. — ἅ'δεν 18. ἄδεν r. Ald. Ald. α. ἄδων 11. p. s. ᾄδων h. — Ahrens. damnavit versum. Herm. posuit eum post v. 39., Fritzsch. post οὐ τόσον εἰναλίῃσι —.

43. ἠῴοισιν] s. ἠώοισιν vulg. ἠωνοῖσιν 11.b. c. ἰωνοῖσιν 18. οἰωνοῖσιν h. 11.a. p. r. οἰωνοῖσι Ald. α. οἰονόμοισιν Ahrens. Ἰδαίοισιν Herm. cum Brunckio. — In h. 11. 18. p. s. r. c. Ald. α. legitur vs. ante vs

ἱπτάμενος περὶ σᾶμα κινύρατο Μέμνονος ὄρνις,
ὅσσον ἀποφθιμένοιο κατωδύραντο Βίωνος
[ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.]
ἀδονίδες πᾶσαί τε χελιδόνες, ἅς ποκ' ἔτερπεν,
ἃς λαλέειν ἐδίδασκε, καθεζόμεναι δ' ἐπὶ πρέμνοις
ἀντίον ἀλλάλαισιν ἐκώκυον· αἱ δ' ὑπεφώνευν
ὄρνιθες· λυπεῖσθ' αἱ πενθάδες, ἀλλὰ καὶ ὑμεῖς.
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.
τίς ποτε σᾷ σύριγγι μελίξεται ὦ τριπόθητε;
τίς δ' ἐπὶ σοῖς καλάμοις θήσει στόμα; τίς θρασὺς οὕτως;
εἰσέτι γὰρ πνείει τὰ σὰ χείλεα καὶ τὸ σὸν ἆσθμα,
ἀχὼ δ' ἐν δονάκεσσι τεᾶς ἔτι βόσκετ' ἀοιδᾶς.
Πανὶ φέρω τὸ μέλιγμα; τάχ' ἂν κἠκεῖνος ἐρεῖσαι
τὸ στόμα δειμαίνοι, μὴ δεύτερα σεῖο φέρηται.
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.
κλαίει καὶ Γαλάτεια τὸ σὸν μέλος, ἅν ποκ' ἔτερπες
ἑζομέναν μετὰ σεῖο παρ' ἠιόνεσσι θαλάσσας.

42. In 18. tamen uni β, alteri α praefixum est.

44. σῶμα h. 11. Ald.[α] σῆμα r.

46. Versum proscripsit Herm. deleta interpunctione post Βίωνος.

48. λαλέων h. 11.[a] — καθεζόμεναι] h. 11. 18. p. s. r. c. Antt — δ' ἐπὶ] 11.[b] 18. p. r. c. Antt. ποτὶ h. 11[a] s.

49. ἀλλάλαισιν] 11.[b] 18. c. ἀλλήλαισιν h. 11.[a] p. s. r. Antt. — αἱ δ'] 11.[a] s. οἵδ' c.

50. λυπεῖσθ' αἱ] Ahrens. λυπεῦσθαι Ald.[α] λυπεῖσθε r. Ald. Iunt. Call. λυπεῦσθε 11.[b] 18. p. c. λυπεῖσθε γε h 11.[a] s. et in marg. 18. — πενθάδες] h. 11. 18. (in marg.) p. s. r. Ald. Ald.[α] πενθάκες 18. c. πελειάδες Iunt. Call. — ἡμεῖς h. s. Ald. Ald.[α] ἡμᾶς p. r. — Post πενθάδες Ahrens. signum interrogationis posuit, in f. v. ἡμεῖς. Herm.: πενθάδες ὀρνίθεσσι πελειάδες, ἀλλὰ καὶ ἄμμες — ut vs. exciderit.

51. βωκολικαὶ Ald.[α]

52. ποτε] c. ποτὶ h. 11.[b] 18. p. s. r. Antt. ποτὲ ποτὶ 11[a] — μελίξεται] s. ξ a sec. μελίσδεται h. 11. p. r. c. Antt. et cum ξ super σ 18. — τριπόθητε] h. 11.[a] s. τριπόθατε vulg.

53. θήσει] h. 11.[a] s. r. θάσει 11.[b] p. c. Antt. In 18. videtur η in α correctum esse. θησεῖ Brunck.

54. πνέει 11.[b] p. r. Ald.[α]

55. ἀχὼ δ' ἐν] Call. ἀχεδονεῖ h. 18. (in marg.) p. s. ἀχεδονὴ r. Ald. Iunt. ἀχεδνὴ 11.[b] 18. c. Ald.[α] αχεδὸν εἶδον ἄκεσι 11.[a] — τεᾶς et ἀοιδᾶς] 18. c. Ald.[α] τεὰς — ἀοιδᾶς h. 11.[a] r. pr. τεᾶς r., ἀοιδάς h. 11.[a] corr. τεὰς — ἀοιδάς vulg. — ἔτι βόσκετ'] conii. Brunck. et Higtius. ἐπὶ βόσκετ' r. Ald.[α] ἐπιβόσκετ' vulg. ἐπιβόσκεται c.

56. μέλιγμα] 11.[b] c. Ald.[α] μέλισμα h. 11.[a] 18. p. s. r. Ald. Iunt. Call. — τάχ[α] p. — κἀκ— 11.[a] καὶ κεῖνος Ahrens. — Interrogationis notam post μέλιγμα poni iussit Steph. ed. II.

57. δειμαίνει 18. et superscr. οι 11.[b] δειμαίνοι τὸ στόμα p. r. Ald.

60. ἑζομέναν] h. 11.[a] 18. p. s. r. Ald. Iunt. Call. ἡμέναν 11.[b] Ald.[α] — μετὰ] Herm. πρὸς Ahrens. περὶ Ald. Iunt. Call. παρὰ h. 11. 18. p.

οὐ γὰρ ἴσον Κύκλωπι μελίσδεο· τὸν μὲν ἔφευγεν
ἁ καλὰ Γαλάτεια, σὲ δ' ἅδιον ἔβλεπεν ἅλμας.
καὶ νῦν λασαμένα τῶ κύματος ἐν ψαμάθοισιν
ἕζετ' ἐρημαίαισι, βόας δ' ἔτι σεῖο νομεύει.
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.
πάντά τοι ὦ βούτα συγκάτθανε δῶρα τὰ Μοισᾶν,
παρθενικᾶν ἐρόεντα φιλήματα, χείλεα παίδων,
καὶ στυγνοὶ περὶ σᾶμα τεὸν κλαίουσιν Ἔρωτες.
. . . .
ἁ Κύπρις, φιλέει δὲ πολὺ πλέον ἢ τὸ φίλημα,
τὸ πρώαν τὸν Ἄδωνιν ἀποθνάσκοντα φίλησεν.
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.
τοῦτό τοι ὦ ποταμῶν λιγυρώτατε δεύτερον ἄλγος,
τοῦτο Μέλη νέον ἄλγος. ἀπώλετο πράν τοι Ὅμηρος,

s. r. c. Ald.[α] — *ἠιόνεσσι*] h. 11.[a] 18. p. s. r. c. vulg. *ἠόνεσσι* 11.[b] Ald.[α] — *θαλάσσας*] s. *θαλάσσης* h. 11. 18. p. r. c. Antt.

61. *ἶσον* 11.[b] p. Ald.[α]

62. *ἁ* om. 11.[b] *ἡ* Ald.[α] — *ἅδιον ἔβλεπεν*] 11.[b] 18. c. Ald.[α] Iunt. *ἁδὺ ἔβλεπεν* p. *ἁδύ* (super *υ* scripto a sec. *ον*) *ἔβλεπεν* r. *ἁδὺ ἀπέβλεπεν* h s. Ald. Call. —*πον* 11.[a] — *ἁλμᾶς* c. *ἅλμας* (*η* superscr.) 11.[b] *ἅλμης* h. p. *ἄλμης* 11.[a]

63. *καὶ* om. 11.[b] Ald.[α] — *λασαμένη* 18. p. r. c. Ald. Iunt. Call. *λευσαμένα* Ald.[α] — *τοῦ* p., supra 18. — *ψαμάθοισιν*] h. 11. 18. s. c. Antt.

64. *ἕζετ'*] h. 11. 18. p. s. r. c. Ald. Iunt. Call. *ἵζετ'* Ald.[α] — *ἐρημαίαισιν* Ald. Call. —*αίοισι* 18. —*αίῃσι* Ahrens. - *δέ τι* h. 11.[a] *δ' ἐπὶ* p. — *σιο* 11.[a] — *βοᾶς δέ τι σεῖο νομεύει* Ahrens. *βοὰν δ' ἔτι σεῖο δοκεύει* Herm.

66. *βούτα*] 18. p. r. c. Ald. Iunt. Call. *βοῦτα* h. 11. s. Ald.[α] — *συγκάτθανε*] h. 11. 18. r. c. Ald. Ald.[α] *ξυγκ—* vulg., om. p.

67. *παρθενικὰν* 11.[a] — *ἐρώεντα* p. — *φιλήματα*] h. 11.[a] p. s. Ald. Iunt. Call. *φιλάματα* 11.[b] 18. r. c. Ald.[α] — *καὶ* ante *χείλεα* p.

68. *στυγνοὶ*] 11.[b] 18. (in marg.) c. Ald.[α] *στυγνὸν* h. 18. p. s. r. Ald. Iunt. Call. *στυγνῶν* 11.[a] — *ποτὶ* h. 11.[a] — *σᾶμα*] h. 11. 18. p. s. r. c. vulg. *σῆμα* Ald. Iunt. Call. *σῶμα* Ald.[α] — *τῶ* p. *τεο* a sec. corr. in *τεὸν* s. — Post hunc vs. unius versus lacunam indicavit Herm.

70. *ἁ Κύπρις. φιλέει δὲ*] Ahrens. *ἁ Κύπρις φιλέει σε* vulg. *ποθέει* Herm. *χἀ Κ. φ. σε* Hartung. lacunam reiiciens. — *φίλημα*] h. 11.[a] p. s. *φίλαμα* vulg.

71. *τὸ*] h. 11. 18. p. s. r. c. Antt. —*πρώ^{αν}* (*αν* a sec.) 18. *πρῶτον* (?) pro *πρώαν τὸν* c. — *ἀποθνήσκοντα* c. *ἀποθνάσκοντ'* h. —*σκωντ'* 11.[a] — *φίλησεν*] s. *ἐφίλησεν* h. 11.[a] *φίλασεν* r. c. *φίλασε* vulg. In 18. videtur *ἀποθνάσκοντ' ἐφίλασεν* mutatum esse in —*τα φίλασεν.*

72. Versus deest in h. 11. 18. p. s. r. c. Antt.

74. *Μέλη νέον*] 11.[b] 18. p. r. c. Ald.[α] Iunt. *μέλης* 18. in marg. *μελήνεον* Call. *μέλεινεον* Ald. *μένεν νέον* h. 11.[a] s. — *ποι* 11.[b] c. Ald.[α] *ποι* (*τ* superscr.) 18. *μοι* p. et superscr. a sec. *τοι* r.

τῆνο τὸ Καλλιόπας γλυκερὸν στόμα, καί σε λέγοντι
μύρασθαι καλὸν υἷα πολυκλαύτοισι ῥεέθροις,
πᾶσάν τ' ἐμπλῆσαι φωνᾶς ἅλα· νῦν πάλιν ἄλλον
υἱέα δακρύεις, καινῷ δ' ἐπὶ πένθεϊ τάκῃ.
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.
ἀμφότεροι παγαῖς πεφιλημένοι ὃς μὲν ἔπινε
Παγασίδος κράνας, ὁ δ' ἔχεν πόμα τᾶς Ἀρεθοίσας.
χὠ μὲν Τυνδαρέοιο καλὰν ἄεισε θύγατρα
καὶ Θέτιδος μέγαν υἷα καὶ Ἀτρείδαν Μενέλαον·
κεῖνος δ' οὐ πολέμους, οὐ δάκρυα, Πᾶνα δ' ἔμελπε,
καὶ βούτας ἐλίγαινε καὶ ἀείδων ἐνόμευε,
καὶ σύριγγας ἔτευχε καὶ ἀδέα πόρτιν ἄμελγε,
καὶ παίδων ἐδίδασκε φιλήματα, καὶ τὸν Ἔρωτα
ἔτρεφεν ἐν κόλποισι καὶ ἤρεθε τὰν Ἀφροδίταν.
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.
πᾶσα Βίων θρηνεῖ σε κλυτὰ πόλις, ἄστεα πάντα.

75. *τῆνο* h. — *τὸ* om. r. — *καί σε*] 18. Ald.[α.] Call. et vulg. post Schaef. *καὶ σὲ* h. 11. p. s. r. c. Ald. Iunt. — *λέγονται* 11.[b.] 18. c. Ald.[α.]

76. *μύρασθαι*] Meinek. *μύρεσθαι* vulg. — *κλυτὸν* Herm. — *πολυκλαύτοισι*] Urs. — *κλαύστοισι* vulg. — *κλαύστησι* h. 11[a.]

77. *πάντα — ἄγκεα* pro *πᾶσαν — ἅλα* h. 11.[a.] s. *πάντα — ἄγγεα* 18. in marg. inductis in textu *πᾶσαν — ἅλα*. — *τ' ἐμπλῆσαι*] coni. Fritzsch. *δὲ πλῆσαι* coni. Schaefer. *δ' ἔπλησας* h. 11.[a.] 18. p. (de hoc ambigo: certa sunt *δ* et *πλησας*.) s. r. c. vulg. *ἔπλησας* sine *δ'* 11.[b.] *ὄπλησας* sine *δ'* Ald.[α.]

78. *καινῷ*] Brunck. *καινῶ* 11.[b.] (supra.) c. *καὶ νῶ* 11.[b.] Ald.[α.] *καὶ νῦν* 18. *αἰνῷ* 18. (supra.) Iunt. *αἰνῶ* h. 11.[a.] 11.[b.] (in marg.) p. s. r. Ald. Call.

79. Addidit Herm.

80. *παγῆς* (in marg. *παγαῖς*) 18. *πηγαῖς* c. — *πεφιλημένοι*] h. 11.[a.] s. *—λαμένοι* vulg. — Vulgatum colon post *πεφ—*, quod Ameis. mutaverat in comma, delevit Meinek. Cfr. Theocr. I, 48. — *ἔπινεν* s. r. c.

81. *παγασίδας* h. 11. 18. p. s. r. c. Ald.[α.] — *ὁ δ'*] h. et a pr. fort. etiam s. — *ἔχε* p. *ἔσχε* c. *ἔσχετο* corr. in *ἔχεν* 18. — *τᾶς Ἀρεθοίσας*] c. *τὰς ἀρεθοίσας* 18. *τᾶς ἀρεθούσας* 11.[b.] r. Antt. *τῆς ἀρεθούσης* h. 11.[a.] p. s.

82. *χὠ*] *χ' ὠ* h. 11. 18. p. s. r. c. vulg. — *ἄυσε* p. *ἤνησε* Ald.[α.]

83. *ἀτρίδαν* r. *ἀτρείδα* 11.[a.]

84. *πολέμους*] h. 11. 18. s. r. c. Antt. *πολε.* *οὐ δ—* p. — *πάνα* p. Ald. Ald.[α.] *πάντα* 11.[b.] — *ἔμελπεν* 18. c.

85. *βούτας*] 18. superscr. *ω*. *βώτας* vulg. *βῶτας* h. 11. Ald.[α.] — *ἐλίγαννε* p. — *ἀήδων* 11.[b.] *ἀηδὼν* Ald.[α.]

86. *ἀδέα* p. — *πόρτυν* (superscr. *η*) c. — *ἄμελγεν* 18. c. *ἔθελγε* sive *ἔθαλπε* coni. Meinek. Mihi videntur interpolatoris esse quae sequuntur post *ἀδέα*.

87. *γλυκερὸν* ante *παίδων*, sed inductum, 18. — *φιλήματα*] h. 11.[a.] s. *φιλάματα* vulg.

88. *ἤρεθε*] h. 11. 18. corr. p. s. r. c. Ald.[α.] Iunt. *ἤρεθε*[σ] 18. pr. *ἤρεσε* Call. *ἠρέτιζε* Ald. — *τὴν* p. r., cum *ἀφροδίτην* Ald. Iunt. Call. *ἀφροδιτὴν* r.

90. *θρηνεῖ σε*] Call. *θρήνησε* h. 11.[a.] s. c. *θρήνασ*[ε] (superscr. *η*) 18. *θρήνασε* 11.[b.] p. r. Ald. Ald.[α.] Iunt. — *κλυτὰ*]

Ἄσκρη μὲν γοάει σε πολὺ πλέον Ἡσιόδοιο·
Πίνδαρον οὐ ποθέοντι τόσον Βοιωτίδες ὗλαι·
οὐ τόσον Ἀλκαίῳ πέρι μύρατο Λέσβος ἐραννά·
οὐδὲ τόσον ὃν ἀοιδὸν ἐμύρατο Τήιον ἄστυ·
σὲ πλέον Ἀρχιλόχοιο ποθεῖ Πάρος· ἀντὶ δὲ Σαπφοῦς
εἰσέτι σεῦ τὸ μέλιγμα κινύρεται ἁ Μυτιλάνα.

(Desunt septem versus.)

ἐν δὲ Συρακοσίοισι Θεόκριτος· αὐτὰρ ἐγώ τοι
Αὐσονικᾶς ὀδύνας μέλπω μέλος, οὐ ξένος ᾠδᾶς
βουκολικᾶς, ἀλλ' ἂν τὺ διδάξαο σεῖο μαθητάς,
κλαρονόμος μοίσας τᾶς Δωρίδος· ἇ με γεραίρων
ἄλλοις μὲν τεὸν ὄλβον, ἐμοὶ δ' ἀπέλειπες ἀοιδάν.
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.

11.[b] 18. Ald.[α] κλυτὴ vulg. κλυτῆ 11.[a] καλὰ c.

91. Ἄσκρη] h. 11. 18. p. s. r. c. Antt. — γοάοισα h. 11.[a]

92. βυ ωτίδαν p. — ὗλαι] 18. s. ὗλαι 11. r. Antt. ὕλαι (cum acuto super λ) h. ὗλαν p. ἄκραι c. ἶλαι Herm.

93. Ἀλκαίῳ] Ald. Iunt. ἀλκαίω 11.[b] 18. s. r. c. Ald.[α] Call. ἀλκαίου p. ἀλκαία h. 11.[a] — πέρι μύρατο] h. p. s. r. c. vulg. περιμύρατο 11.[a] Ald.[α] πέρι μύσατο 11.[b] ποτὶ (e corr. πότι) μύρατο 18. πέρι κείρατο Meinek. e coni. Hermanni, in notis ἔπ' ὀδύρατο. πέρι δύρατο Hartung. περιμήνατο Ahrens. — ἐραννά] Heringa. ἐρεννά 11.[b] c. Ald.[α] ἐρενέα p. ἐρενῖα (induct.) r. ἐρωνά 18. ἐρεμνά h. 11.[a] 18. (in marg.) s. ἐρυμνά r. (in marg.) Ald. Iunt. Call.

94. ὃν] Wakefield. τὸν vulg. — ἐμήρατο c. ὀδύρατο ut Wakefield. coni. Herm. Reliqui interim hic quoque vulgatam. — Τήιον] h. 11. 18. p. s. c. Ald.[α] Iunt. [κ]τήιον (κ a sec.) r. κτήιον Ald. κήιον Call.

95. πόθει r.

96. σευ 11.[a] — μέλιγμα] 11.[b] Ald.[α] μέλισμα h. 11.[a] 18. p. s. r. c. Ald. Iunt. Call. — ἡ p. — Μυτιλάνα] Ameis. Μιτυλάνα vulg. μιτυλήνα h. p. s. μιτυλῆνα 11.[a] — Post hunc vs. habet Iunt. in marg. λείπει. In Call. sequuntur asteriscis inclusi et praemissis verbis Μάρκος ὁ μουσοῦρος, ἔλεγε τοιαῦτα τινα λείπειν sex versus, quorum in codd. nihil est repertum. Vide ADD. — Septem versuum lacunam notavit Herm. Tertius erat ephymnium.

104. οὐδὲ c. — συρακουσίοισι 11.[b] r. Ald. Ald.[α] συρρακουσίοισι p. συρηκοσίοισι s. συρηκόσιοι 18. c. συρηκοσιαῖσι (οι supra) h. συρακουσίαισι 11.[a]

105. αὐσονικὰς p. — ᾠδᾶς pro ὀδύνας 18. — πέμπω Herm. — ὠδῆς 11.[a]

106. βουκολικᾶς] 11.[a] p. βοκ— Call. βωκ— h. 11.[b] 18. s. r. c. Ald. Ald.[α] Iunt. — ἂν τὺ διδάξαο] Herm. ἦντε διδάξαο p. Ald.[α] ἦντ' ἐδιδάξαο h. 11. 18. s. r. Ald. Iunt. Call. ἦν τ' ἐδ— c. ἂν τ' ἐδ— Valck.

107. κλαρονόμος] 11[b] 18. r. Ald. Ald.[α] Iunt. καρον— p. κληρον— h. 11.[a] s. c. κλαρονόμως Call., ω a sec. super ος r. — μοίσας] Meinek. μώσας vulg. — τῆς p. — ἇ με] Briggs. ἅμμε s. ἄμμε 11.[b] ἄμμε vulg. ἄμμεα Ald.[α] ἄμμεγα c.

108. ἀπέλειπεν 18. ἀπέλιπες 11.[b] p. r. c. Ald.[α] ἀπέλειψας h. 11[a] s. Iunt. Call. ἀπέλιψας Ald. — ἀειδάς 11.[a]

αἰαῖ ταὶ μαλάχαι μὲν ἐπὴν κατὰ κᾶπον ὄλωνται,
ἠδὲ τὰ χλωρὰ σέλινα τό τ' εὐθαλὲς οὖλον ἄνηθον,
ὕστερον αὖ ζώοντι καὶ εἰς ἔτος ἄλλο φύοντι·
ἄμμες δ' οἱ μεγάλοι καὶ καρτεροί, οἱ σοφοὶ ἄνδρες,
ὁππότε πρᾶτα θάνωμες, ἀνάκοοι ἐν χθονὶ κοίλᾳ
εὕδομες εὖ μάλα μακρὸν ἀτέρμονα νήγρετον ὕπνον.
καὶ σὺ μὲν ὦν σιγᾷ πεπυκασμένος ἔσσεαι ἐν γᾷ,
ταῖς Νύμφαισι δ' ἔδοξεν ἀεὶ τὸν βάτραχον ᾄδειν.
τῷ δ' ἐγὼ οὐ φθονέοιμι· τὸ γὰρ μέλος οὐ καλὸν ᾄδει.
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.
φάρμακον ἦλθε Βίων ποτὶ σὸν στόμα, φάρμακον εἶδες.
τοιούτοις χείλεσσι ποτέδραμε κοὐκ ἐγλυκάνθη;
τίς δὲ βροτὸς τοσσοῦτον ἀνάμερος ἢ κεράσαι τοι
ἢ δοῦναι λαλέοντι τὸ φάρμακον; ἢ φύγεν ᾠδάν.

110. *αἰαῖ*] Meinek. *αἲ αἶ* s. *αἴ αἴ* vulg. — *ἐπὴν*] Ameis. *ἐπὰν* vulg.

111. *ἠδὲ*] 11.[b] 18. c. Ald.[α] *ἢ* vulg. — *σέληνα* 11.[a], *η* corr. in *ι* 11.[b]

112. *ἐς* h. 11.[a]

113. *οἳ* c. — *καρτεροί, οἱ σοφοὶ*] Briggs. *καρτεροὶ σοφοὶ* p. *καρτεροὶ ἢ σοφοὶ* Call. *καρτερικοὶ σοφοὶ* h. 11. 18. s. r. c. Ald. Ald.[α] Iunt.

114. *ὁππότ* p. *ὁππόκα* Brunck. et Herm. — *πρᾶτα*] 11.[b] 18 c. Ald.[α] *πρῶτα* h. 11.[a] p. s. r. Ald. Iunt. Call. — *θάνομες* 18. — *ἀνάκοοι*] 18. (e corr.) r. Call. *ἀνάκοσι* 18. pr. *ἀνάκοι* 11.[b] Ald.[α] *ἀνάκοες* p. Ald. Iunt. *ἀνακόες* c. *ἀνήκοες* h. 11.[a] s. — *κοίλη* h. 11.[a] p. s. c.

116. *καὶ* om. 11.[b] Ald.[α] — *ὦν*] Wakefield. *ἐν* vulg. *καὶ σὺ Βίων* coni. Fritzsch.

117. *ταῖς* om. 11.[b] — *νύμφαισ* 11.[a] *νύμφαισιν* 18. — *ἀείδειν* Ald.[α] et superscr. *γρ. ἄδειν* 11.[b]

118. *τῶδ'* Call. *τοῖς δ'* h. 11.[a] 18. p. s. r. c. Ald. Iunt. *δ'* spatio ante relicto 11.[b] *οὐδ'* Ald.[α] — *ἄδειν* 11.[a]

119. Post hunc vs. novem versuum lacunam indicavit Herm. Cfr. quibus rationibus suam sententiam comprobet.

120. *βίον* Iunt. *βίαν* p. — *φάρμακον εἶδες*] 11.[b] 18. r. c. Ald.[α] Iunt. Call. *φ. ἦδες* 11.[a] p. s. Mor. *φ. ᾗδες* h. Ald. *φαρμακοειδές* Ahrens. *φαρμάκου εἶδος* ut Ahrens. in proecdosi Hartung. *φάρμακον εἶτα* signo interrogationis post *στόμα* posito Fritzsch.

121. *τοιούτοις*] 11.[b] p. r. c. Ald.[α] *τοιούτοῖς* cum linea infra *τοιου* 18. *τις' τούτοις* h. *τίς τουτοῖς* 11.[a] *τίς τ*[ευ] *τοῖς* s. e corr., videtur *τούτοις* fuisse. *τίς τευ τοῖς* Call. *τίς τευ* sine *τοῖς* Ald. *τίς τευ* in marg. 18. *πῶς τευ τοῖς* Iunt. *πῶς τοίοις* Herm. — *χείλεσι* Ald. *χάλεσι* (super *α η*) r. — *ποτέδραμε κοὐκ*] h. 11.[a] s. (hic e corr.) Call. *πότ' ἔδραμεν κοὐκ* Ald. Iunt. *ποκ' ἔδραμε κοὐκ* p. s. pr. *πόκ' ἔδραμε κοὐκ* 18. c. *ποκ' ἔδραμε οὐκ* Ald.[α] *ποκ' ἔδραμεν οὐκ* r. *πόκ' ἔδραμεν οὐκ* 11.[b]

122. *βροτοὺς* h. 11.[a] — *τοσοῦτον* h. 11. r. c., alterum *σ* superscriptum 18. *γε τοσοῦτον* Ald.[α] — *ὃς* in marg. 18. *ὡς* Ahrens. — *κεράσαι τοι*] 18, in marg. *κεράσαιτο* h. 11. Ald.[α] induct. r. *κεράσαιτὸ* c. et deleto accentu super *το* 18. *μεραίσαιτο* p. *κεράοντι* s. r. in marg. Ald. *κεράωντοι* Iunt. Call. *κεράωντι* Mor.

123. *λαλέοντι τὸ*] 11.[h] 18. Ald.[α] *λαλεόντι* r. *καλέοντι τὸ* h. 11.[a] c. (hic cum puncto sub *κ* et superscr.

ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.
ἀλλὰ Δίκα κίχε πάντας. ἐγὼ δ' ἐπὶ πένθεϊ τῷδε
. . . .
δάκρυα καὶ τεὸν οἶτον ὀδύρομαι. εἰ δυνάμαν δέ
ὡς Ὀρφεὺς καταβὰς ποτὶ Τάρταρον, ὥς ποκ' Ὀδυσσεύς,
ὡς πάρος Ἀλκείδας, κἠγὼ τάχ' ἂν ἐς δόμον ἦλθον
Πλουτέος, ὥς κέ σ' ἴδοιμι, καὶ εἰ Πλουτῆι μελίσδῃ,
ὡς ἂν ἀκουσαίμαν, τί μελίσδεαι. ἀλλ' ἐπὶ Κώρᾳ
Σικελικόν τι λίγαινε καὶ ἁδύ τι βουκολιάζευ.
καὶ κείνα Σικελά, καὶ ἐν Αἰτναίαισιν ἔπαιξεν
ᾐόσι, καὶ μέλος ᾖδε τὸ Δώριον· οὐκ ἀγέραστος

λ.) Ald. καλέοντι p. s. Mor. καλέωντοι Iunt. Call. χατέοντι τὸ Herm. — ἢ φύγεν] Brunck. ἢ φύγεν 11.$^{b.}$ 18. p. r. pr. c. Ald.$^{\alpha.}$ εκ super ἢ 18. ἢ a sec. del. et superscr. ἐκ r. ἔκφυγεν h. 11.$^{a.}$ s. Ald. Iunt. Call. ἔκφυγεν ἄδαν; Herm. οὐ φύγεν ᾠδάν; Ahrens. ὡς φ. ᾠδάν; Fritzsch. — In Iunt. praeter punctum post ᾠδάν nulla distinctio; in Call. signum interrogationis post κεράωντοι, comma post φάρμακον, punct. post ᾠδάν.

124. βωκολικαὶ Ald.$^{\alpha.}$

125. ἀλλὼν 11.$^{b.}$ ἄλλων Ald.$^{\alpha.}$ — Δίκα] Eichstad. δίκα vulg. — πάντας om. h. 11.$^{a.}$ p. In s. post κίχε lacuna, quam sec. explevit per πάντας. πάντα Ahrens. — δὲ omisso ἐπὶ r. δ' ἔτι Herm. — λείβω pro τῷδε Hartung. Mihi videtur cum Fritzsch. post hunc vs. unus versus excidisse.

127. δάκρυα καὶ] h. 11. 18. p. s. r. c. Ald. Ald.$^{\alpha.}$ Call. δάκρυσι καὶ Ahrens. δακρυχέων Iunt. et super del. δάκρυα a sec. r. — τεὸν ὕδωρ οἶτον Ald.$^{\alpha.}$, οὗτον Ald. — δυνάμαν] 11.$^{b.}$ 18. Ald.$^{\alpha.}$ δυνάμην h. p. s. r. Ald. Iunt. Call. δυναίμην 11.$^{a.}$

128. ὡς πόκ' h. 11.$^{b.}$ p. — οδῦ (sic) p.

129. ἀλκίδας p. Mor. — ἐς] 18. (supra.) r. c. Ald. Iunt. Call. εἰς h. 11. 18. p. s. Ald.$^{\alpha.}$ — ἦνθον r.

130. πλούτε^{o} p. — ὥς κέ σ'] Schaefer. ὡς κεν vulg. — μελίσδῃ] Ahrens. μελίσδεις (η superscr.) 11.$^{b.}$ μελίσδης p. Ald.$^{\alpha.}$ μελίσδεις vulg.

131. ἂν om. c. — ἀκουσαίμαν] 11.$^{b.}$ 18. r. c. Ald.$^{\alpha.}$ ἀκουσαίμην h. 11.$^{a.}$ p. s. Ald. Iunt. Call. — μελίσδεο 11.$^{b.}$ 18. (hic superscr. αι.) p. r. c. Ald. Ald.$^{\alpha.}$ — ἀλλὰ ἐπὶ Ald. Call. ἀλλ' ἔτι Ahrens. ἀλλὰ τὺ Fritzsch. ἀλλὰ πᾶσα p. r., hic super πᾶσα a sec. ἐπὶ. καὶ παρὰ 11.$^{b.}$ 18. c. Ald.$^{\alpha.}$ — κώρα p. r., η super α c.

132. ἁδύ omisso τι p. — βουκολιάζευ] 11.$^{b.}$ 18. (hic superscr. σδεν.) r. βωκολιάζεν c. Ald.$^{\alpha.}$ βουκολιάσδεν p. Ald. Iunt. Call. βωκολιάσδεν h. 11.$^{a.}$ s. Steph. vulg.

133. καὶ κείνα] 11.$^{b.}$ καὶ κεῖνα Ald.$^{\alpha.}$ καὶ κείνη Ald. Iunt. καὶ κεῖνος p. r. κἀκείνη Call. κείνα sine καὶ 18. c. κείνη h. 11.$^{a.}$ s. — Σικελά, καὶ ἐν] Teucher. σικελαῖς καὶ ἐν Iunt. σικελικὰ καὶ ἐν 18. c., prior superscr. καῖσιν. σικελικὰ ἐν 11.$^{b.}$ p. r. Ald.$^{\alpha.}$ σικελικαῖσιν ἐν h. 11.$^{a.}$ s. σικελικαῖσιν sine ἐν Ald. σικελαῖσιν ἐν Call. — Αἰτναίαισιν] h. 11.$^{b.}$ 18. p. s. r. Antt. αἰτναΓαῖσιν 11.$^{a.}$ αἰθναιαισιν cum puncto sub θ et superscr. τ c. — ἔπαιξεν] h. 11. 18. p. s. r. c. Ald.$^{\alpha.}$ ἔπαιξεν Ald. Iunt. Call.

134. ᾐόσι] ᾀόσι h. 18. s. (hic e corr.) ἀόσι 11. p. s. c. Ald.$^{\alpha.}$ ἄοσι r. ἄοσι Ald. αἰόσι Iunt. Call. Ἐνναίοισιν ἔπαιξεν | ἄγκεσι e coni. Ruhnkenii Herm. Meinek. Hart. — ᾖδε] 18. (in marg.) Ald. Iunt. ἦδε r.

ἐσσεῖϑ' ἁ μολπά, χὡς Ὀρφεῖ πρόσϑεν ἔδωκεν
ἁδέα φορμίζοντι παλίσσυτον Εὐρυδίκειαν,
καὶ σὲ Βίων πέμψει τοῖς ὤρεσιν. εἰ δέ τι κήγών
συρίσδων δυνάμαν, παρὰ Πλουτεῖ κ' αὐτὸς ἄειδον.

ΜΕΓΑΡΑ.

Δ′.

Μῆτερ ἐμή, τίφϑ' ὧδε φίλον κατὰ ϑυμὸν ἰάπτεις
ἐκπάγλως ἀχέουσα, τὸ πρὶν δέ τοι οὐκέτ' ἔρευϑος
σώζετ' ἐπὶ ῥεϑέεσσι; τί μοι τόσον ἠνίησαι;
ἦ ῥ' ὅτι ἄλγεα πάσχει ἀπείριτα φαίδιμος υἱός
ἀνδρὸς ὑπ' οὐτιδανοῖο, λέων ὡςεί ϑ' ὑπὸ νεβροῦ;
ὤμοι ἐγώ, τί νυ δή με ϑεοὶ τόσον ἠτίμασσαν

(in marg.) Call. οἶδε[η] h. ὀιδε[η] s. οἶδε 11. 18. p. r. c. Ald.[α] — ὤριον p.

135. *μολπά*] h. 11. 18. p. s. c. Ald.[α] vulg. *μολπή* r. Ald. Iunt. Call. — *ὡς* superscr. a sec. *χ'* 18. *χῶς ὄφει* c. — *πρῶτον* 18., *πρόσϑεν* in marg.
136. *ἀδέα* p. Ald. Call. — *φορμίζοντι*] h. 11. 18. p. s. r. c. Antt.
137. *καί σε* h. 18. p. s. r. c. Ald.[α] Call. *ἤσε* 11.[b] — *πέμψει*] h. 11. 18. p. s. r. c. Ald. Ald.[α] Call. *πεμψεῖ* Iunt. vulg. — *ὤρεσι* 11.[a] *ὤρεσσιν* p. — *εἰ δὲ*[τι] 18., *τι* a sec. (*εἰ δ' ἔτι* Urb. 140.) *ἠδέ τι* 11.[a] *ἠδε*[τι] h.
138. *συρίσδων*] 11.[b] 18. r. c. Ald.[α] *συρίσδώ́ν* (*″ = ειν.*) p. *συρίσδεν* h. 11.[a] s. Ald. Iunt. Call. — *δυναίμαν* 11.[b] *δυνάμην* h. s. Ald. Iunt. Call. *δύναμιν* 11.[a] *δυναίμην* p. r. — *πλουτήι* r. *πλουτῆϊ* 11.[b] 18. p. c. Ald. Ald.[α] — *κ' αὐτὸς*] Urs. *καὐτὸς* vulg. *κἀυτὸς* 11. 18. p. s. r. c. *αὐτὸς* Ald. — *ἀείδω* 11.[h] r. c. Ald.[α] et superscr. *ον* 18. om. p.

IV. Libri: Vat. 1311. (11. Vs. 1—13.) Vat. 1379. (18.) Med. 16. (s.) Med. 43. (r.) Med. 15. (w.) Ambros. 75. (c.)

Μεγάρα] Urs. *Μ. γυνὴ Ἡρακλέους* Ald.[α] et addito *Δωρίδι* Ald.[β] Iunt. Call. *μέγ̄αρα. γυνὴ ἡρακλῆος* 11. *μεγάρα γυνὴ ἡρακλέος. δωρίδι διαλέκτῳ* r. *Θεοκρίτου μέγαρα ἢ γυνὴ ἡρακλέους. δωρίδι διηγηματικόν* 18. *ἡ μεγάρα λέγει τῇ πενϑερᾷ κεχαρισμένη* s. in fine praecedentis paginae. (*κεχαρισμένως*[α] Mutin. 146.) *Θεοκρίτου διηγηματικόν. μέγαρα ἡ γυνὴ ἡρακλέους προσδιαλέγεται τῇ πενϑερᾷ* c., in marg. a manu recent.: Moschi; sine titulo w.

1. *μῆτερ ἐμή*] s. *μᾶτερ ἐμά* vulg.
2. *ἀχέουσα*] s. *ἀχέοισα* vulg. *ἀχέοισα̈* c. *ἀχέεσσι* Iunt. — *τοπρίν* s. — *οὐκέτ'*] s. w. Urs. *οὐκ ἔτ'* vulg. *οὖκ ἔτ'* 11. 18. c.
3. *σώζετ'* Ahrens. — *ἐπὶ ῥεϑέεσσι*] 11. 18. *ἐπὶ ῤῥεϑ—* s. *ἐπὶ ῥρεϑ—* w. c. *ἐπίρρεϑ—* Ald.[α] *ἐπίῤῥεϑ—* Ald.[β] *ἐπιῤῥέεϑ—* a pr., *ἐπὶ* a sec. r. *ἐπιῤῥεϑ—* Iunt. Call.
4. *ἦρ' ὅ τοι* Ahrens.
5. *νευροῦ* 18.
6. *δή με*] s. *μ' ὧδε* vulg. — *ἠτίμασσαν*] Ahrens. *ἠτίμασαν* 11. r. w. c. Antt. *ἠτίμησαν* 18. s.

ἀθάνατοι; τί νύ μ' ὧδε κακῇ γονέες τέκον αἴσῃ;
δύσμορος, ἥτ' ἐπεὶ ἀνδρὸς ἀμύμονος ἐς λέχος ἦλθον,
τὸν μὲν ἐγὼ τίεσκον ἴσον φαέεσσιν ἐμοῖσιν
ἠδ' ἔτι νῦν σέβομαί τε καὶ αἰδέομαι κατὰ θυμόν·
τοῦ δ' οὔτις γένετ' ἄλλος ἀποτμότερος ζωόντων,
οὐδὲ τόσων σφετέρησιν ἐγεύσατο φροντίσι κηδέων.
σχέτλιος, ὃς τόξοισιν, ἅ οἱ πόρεν αὐτὸς Ἀπόλλων
ἠέ τινος Κηρῶν ἢ Ἐρινύος αἰνὰ βέλεμνα,
παῖδας ἑοὺς κατέπεφνε καὶ ἐκ φίλον εἵλετο θυμόν
μαινόμενος κατὰ οἶκον, ὁ δ' ἔμπλεος ἔσκε φόνοιο.
τοὺς μὲν ἐγὼ δύστηνος ἐμοῖς ἴδον ὀφθαλμοῖσι
βαλλομένους ὑπὸ πατρί, τὸ δ' οὐδ' ὄναρ ἤλυθεν ἄλλῳ.
οὐδέ σφιν δυνάμην ἀδινὸν καλέουσιν ἀρῆξαι
μητέρ' ἐήν, ἐπεὶ ἐγγὺς ἀνίκητον κακὸν ἦεν.
ὡς δ' ὅτ' ὀδύρεται ὄρνις ἐπὶ σφετέροισι νεοσσοῖς
ὀλλυμένοις, οὕς τ' αἰνὸς ὄφις ἔτι νηπιάχοντας
θάμνοις ἐν πυκινοῖσι κατεσθίει· ἡ δὲ κατ' αὐτούς
πωτᾶται κλάζουσα μάλα λιγὺ πότνια μήτηρ,
οὐδ' ἄρ' ἔχει τέκνοισιν ἐπαρκέσαι· ἦ τέ οἱ αὐτῇ
ἆσσον ἴμεν μέγα τάρβος ἀμειλίκτοιο πελώρου·
ὣς ἐγὼ αἰνοτόκεια φίλον γόνον αἰάζουσα
μαινομένοισι πόδεσσι δόμον κάτα πολλὸν ἐφοίτων.
ὡς ὄφελον μετὰ παισὶν ἅμα θνήσκουσα καὶ αὐτή

7. κακοὶ w.
8. εἰς 18. s., prior e corr.
9. φαέεσσιν] 11. (e corr.) 18. s. r. c. vulg. φαρέεσσιν 11. w. Ald.$^{α.}$
10. ἠδ' r. Call. ἦδ' 11.
12. τόσον Iunt. τόσ| a pr. corr. in ων s. — ἐνὶ φρεσὶ coni. Carol. Hart.
13. In hoc vs desinit etiam Ald.$^{α.}$
14. Ἐρινύος] Ἐριννύος 18. s. r. w. c. vulg. Illud qui primus scripserit, nescio.
15. αἰνοὺς pro ἑοὺς w. — ἔκφυλον (υ a pr. corr. in ï) ὤλεσε s.
16. ὁ δ'] vulg. ὅδ' 18. s. r. w. c. Antt. — ἔμπλεως 18. w. c.
17. ὀφθαλμοῖσιν r. c.
20. ἐὴν r. Ald.$^{β.}$ Iunt. — ἀνίκητον] s. ἀνίκατον 18. r. w. (hic superscr. a pr. η.) c. Antt. — καλὸν Ald.$^{β.}$ Call., cum puncto sub λ et superscr. κ r.
21. ὡς δ' ὅτ' ὀδύρεται ὄρνις] Meinek. ὡς δέ τ' ὀδύρεται ὄρνις r. Ald.$^{β.}$ Call. — ὀδήρεται— Iunt. ὡς δ' ὄρνις ὀδύρεται 18. ὧς, δ' ὄρνις ὀδύρεται c. ὡς δ' ὄρνις ὀδύρηται s. w. ὡς δ' ὄρνις δύρηται, quod propter δύρηται dubitanter proposuerat Meinek., Ahrens. Ameis. Hart. — νεοττοῖς s.
23. κατασθίει r. κατεσθίῃ Ahrens. — ἡ δὲ] 18. r. c. vulg.
25. ἦ τέ] Meinek. ἡ γάρ vulg.
26. ἀμειλίκτου νεαώρου s.
27. ὡς 18. r. — γόνον] s. Iunt. τόκον w. c. τέκ^{ο} 18. τέκος Antt. et superscr. a sec. γόνον r.
28. κάτα] Iunt. vulg. κ'τα s. κατὰ 18. r. w. c. Ald.$^{β.}$ Call. — πάντῃ pro πολλὸν Herm. coll. Iliad. XX, 5.
29. ὡς ὄφελον] Ameis. ὧς γ' vulg. ὡς γ' Ald.$^{β.}$

κεῖσθαι φαρμακόεντα δι' ἥπατος ἰὸν ἔχουσα,
Ἄρτεμι θηλυτέρῃσι μέγα κρείουσα γυναιξί.
τῷ χ' ἡμέας κλαύσαντε φίλαις ἐν χερσὶ τοκῆες
πολλοῖς σὺν κτερέεσσι πυρῆς ἐπέβησαν ὁμοίης,
καί κεν ἕνα χρύσειον ἐς ὀστέα κρωσσὸν ἁπάντων
λέξαντες κατέθαψαν, ὅθι πρῶτον γενόμεσθα.
νῦν δ' οἱ μὲν Θήβην κουροτρόφον ἐνναίουσιν
Ἀονίου πεδίοιο βαθεῖαν βῶλον ἀροῦντες·
αὐτὰρ ἐγὼ Τίρυνθα κάτα κραναὴν πόλιν Ἥρης
πολλοῖσιν δύστηνος ἰάπτομαι ἄλγεσιν ἦτορ
αἰὲν ὁμῶς· δακρύων δὲ πάρεστί μοι οὐδ' ἴ' ἐρωή.
ἀλλὰ πόσιν μὲν ὁρῶ παῦρον χρόνον ὀφθαλμοῖσιν
οἴκῳ ἐν ἡμετέρῳ· πολέων δέ οἱ ἔργον ἑτοῖμον
μόχθων, τοὺς ἐπὶ γαῖαν ἀλώμενος ἠδὲ θάλασσαν
μοχθίζει πέτρης ὅγ' ἔχων νόον ἠὲ σιδήρου
καρτερὸν ἐν στήθεσσι· σὺ δ' ἠύτε λείβεται ὕδωρ;
νύκτάς τε κλαίουσα καὶ ἐκ Διὸς ἤμαθ' ὁπόσσα.
ἄλλος μὰν οὐκ ἄν τις ἐυφρήναι με παραστάς
κηδεμόνων· οὐ γάρ σφε δόμων κατὰ τεῖχος ἐέργει.

30. ὕπατος superscr. η c., υ corr. in η 18. ἥπατος r. Iunt. — ἔχουσα] s. ἔχοισα vulg. — Post hunc versum Wakefield. alium excidisse intellexit.

32. τῶ s. r. Call. τώ w. c. et fort. etiam 18. — ἡμέας] Herm. ἡμᾶς vulg. — κλαύσαντες (ς a sec.) r. καύσαντες (λ superscr.) c. — φίλης s. φίλησ' Ahrens. φίλοις Iunt. φίλ' 18. c., hic in marg. φίλησ. — ἐν] s. ἐνὶ c. in marg. ἐπὶ 18. r. c. vulg. om. w. — τοκῆε Herm.

34. εἰς 18. c. — κρώσσον c.

35. πρᾶτον c.

36. οἱ μὲν] 18. s. r. c. vulg. — κουροτρόφον] 18. r. w. c. Ald. Call. ἱπποτρόφον s. Iunt. — ἐνναίουσι c.

37. πεδίοις r. — ἔχοντες coni. Herm. Meinekio vulgata non sine labe videtur esse propter debilem quarti pedis spondeum.

38. κάτα] Meinek. κατὰ vulg. — Ἥρης] s. ἥρας r. Antt. ἥρα 18. c., hic superscr. ης. ἥρα aut ἦρα w.

39. πολλοῖσι c.

40. αἰὲν] Brunck. αἰεὶ vulg. — οὐδῖ ε̃'ρωή (sic) s. οὐδ' ἴ ἔρωη c.

42. πολλῶν c. — δέ οἱ] Herm. γάρ οἱ vulg. — ἑτοῖμον] s. Iunt. a sec. c. ἕτοῖμον w. ἕτοιμον 18. c. pr. Call. ἕτοιμον r. Ald. β.

45. λείβεται] s. λείβεαι vulg. Cfr. Ameis. ad Theocr. V, 28. — Post hunc vs. lacunam indicavit Herm.

46. νύκτάς τε] Ahrens. νύκτας τὲ 18. r. Iunt. — ἤμαθ' ὁπόσσα] Iunt. Call. ἦμαθ' ὁπόσσα s. ἤματα πάντα w. c. Ald. β. ἤματα π. 18. r. — Herm. recepit ἤματα π., sed in notis ait a Moscho scriptum esse aut νύκτας τε κλαίουσ' ὅσα τ' ἐκ Διὸς ἤματα π., aut quod rotundius sit, τά τ' ἐκ Διὸς ἤματα π.

47. ἄλλως r. — τις] s. w. Iunt. τις γ' 18. r. c. (hic fort. a sec.) Ald. β. Call. — ἐυφρήναι] Iunt. εὐφρήναι c. εὐφρῆναι w. εὐφρῆναί 18. r. Ald. β. Call. De s. ambigo. Librarius videtur εὐφράνειε voluisse: certum est εὐφράν. εὐφραίνειέ Mutin. 146., qui cum s. ex eodem fonte fluxit.

48. οὐ et δόμων] 18. s. r. w. c. vulg. — τεῖχος] 18. s. r. w. c. Ald. β. τοῖχος Iunt. Call. ἠ γάρ σφε δόμων

καὶ λίην πάντές γε πέρην πιτυώδεος Ἰσθμοῦ
ναίουσ', οὐδέ μοί ἐστι πρὸς ὅντινά κε βλέψασα
οἷα γυνὴ πανάποτμος ἀναψύξαιμι φίλον κῆρ,
νόσφιν δὴ Πύρρης συνομαίμονος· ἡ δὲ καὶ αὐτή
ἀμφὶ πόσει σφετέρῳ πλέον ἄχνυται Ἰφικλῆι,
σῷ υἱεῖ· πάντων γὰρ ὀιζυρώτατα τέκνα
γείνασθαί σε θεῷ τε καὶ ἀνέρι θνητῷ ἔολπα.
Ὣς ἄρ' ἔφη· τὰ δέ οἱ θαλερώτερα δάκρυα μήλων
κόλπον ἐς ἱμερόεντα κατὰ βλεφάρων ἐχέοντο,
μνησαμένη τέκνων τε καὶ ὧν μετέπειτα τοκήων.
ὣς δ' αὔτως δακρύοισι παρήια λεύκ' ἐδίαινεν
Ἀλκμήνη· βαρὺ δ' ἧγε καὶ ἐκ θυμοῦ στενάχουσα
μύθοισιν πυκινοῖσι φίλην νυὸν ὧδε μετηύδα·
Δαιμονίη παίδων, τί νύ τοι φρεσὶν ἔμπεσε τοῦτο
πευκαλίμαις; πῶς ἄμμ' ἐθέλεις ὀροθυνέμεν ἄμφω
κήδε' ἄλαστα λέγουσα; τὰ δ' οὐ νῦν πρῶτα κέκλαυται.
ἦ οὐχ ἅλις, οἷς ἐχόμεσθα τὸ δεύτατον αἰὲν ἐπ' ἦμαρ
γινομένοις; μάλα μέν γε φιλοθρηνής κέ τις εἴη,
ὅςτις ἀριθμήσειν ἂν ἐφ' ἡμετέροις ἀχέεσσι

κατὰ τοῖχος ἐέργει. Ameis. *δὴ γάρ σφε δόμον κάτα τοῖχος ἐέργει,* Meinek. *οὐ γάρ σφε δόμῳ κάτα τοῖχος ἐέργει;* Herm. Mihi videtur vulgata sana esse.

49. *λίην* et *πέρην*] s. Iunt. *λίαν — πέρην* c. *λίαν — πέραν* 18. r. w. Ald. β. Call.

50. *οὐδέ μοι ἐστὶ* 18. s. r. vulg. *οὐδέ μοι ἔστι* Meinek. — *βλάψασα* superscr. ε c. α corr. in ε 18.

51. *ἀναψύξαιμι*] s. Call. *ἀναπτύξαιμι* 18. r. w. c. Ald. β. Iunt.

52. *νόσφιν δὴ*] s. (*νόσφι δὴ* Mutin.) *νόσφι δέ γε* c. *νόσφι γε δὴ* 18. r. w. vulg. — *τε* (?) *σῦναίμονος* s. (*γε συναίμονος* Mutin.) — *ἡ δὲ*] s. r. c. vulg. *ἤδὲ* 18. Ald. β.

53. *ἄχνυται*] s. *ἄχθεται* vulg.

54. *υἱεῖ*] s. *υἱῷ* vulg.

56. *μᾶλλον* e Wakefieldi coni. Meinek. Hart.

58. *τέκνων*] s. Iunt. Call. *τεκέων* 18. r. w. c. Ald. β

59. *ὣς*] Iunt. *ὡς* vulg. — *αὔτως*] *αὕτως* vulg. Illud qui primus dederit, nescio. — *δακρύοισ* c. — *λεῦκ'* 18. s. w. — *ἐδιαίνεν* c.

60. *δὲ γε* s.

61. *μύθοισι* c. — *φίλον* c. *φίλ/* s. *φιλ* w. — *προςηύδα* Herm.

63. *πευκαλίμαις*] Meinek. *—μῃς* vulg. — *ἐθέλῃς* c.

64. *τάδ'* s. r. Iunt. Call. — *κέκλαυται*] s. Iunt. Call. *κέκλωνται* 18. w. c. *κέλονται* Ald. β. *πέλονται* r., π a sec. et superscr. *εἰσίν.*

65. *ἦ οὐχ*] 18. r. w. c. Ald. β. Iunt. *ἡ οὐχ* s. *οὐχ* Call. — *οἷ'* Call. — *αἰὲν*] Brunck. *αἰεὶ* vulg.

66. *γινομένοις*] s. w. c *γειν—* Ahrens. *γιγν—* vulg. — *φιλοθρηνής κέ τις εἴη*] *φιλοθρηνὴς κέ τις εἴη* Call. *φιλοθρηνὴς κε* (a sec. *κέ*) *τις εἴη* s. *φιλοθρηνήσκετ' ἂν εἴη* 18. r. c. Ald. β. *φιλοθρηνὴς κατ' ἂν εἴη* Iunt. *φιλοθρήνης τ' ἂν εἴη* w.

67. *ἀριθμήσειν ἂν*] Hartung. *ἀριθμήσειεν* vulg., *ἀριθμήσει εν* 18. *ἀριθμήσειν ἓν* Herm. — *ἀχέεσσιν* 18. r. c. Ald. β. Iunt. Call. et ante Mor.

θαρσοίη· τοιῆσδ' ἐπεκύρσαμεν ἐκ θεοῦ αἴσης..
καὶ δ' αὐτὴν ὁρόω σε φίλον τέκος ἀτρύτοισιν
ἄλγεσι μοχθίζουσαν· ἐπιγνώμων δέ τοί εἰμι
ἀσχαλάαν, ὅτε δή γε καὶ εὐφροσύνης κόρος ἐστί.
καί σε μάλ' ἐκπάγλως ὀλοφύρομαι ἠδ' ἐλεαίρω,
οὕνεκεν ἡμετέροιο λυγροῦ μετὰ δαίμονος ἔσχες,
ὅς θ' ἡμῖν ἐφύπερθε κάρης βαρὺς αἰωρεῖται.
ἴστω γὰρ Κούρη τε καὶ εὐέανος Δημήτηρ,
ἅς κε μέγα βλαφθείς τις ἑκὼν ἐπίορκον ὀμόσσαι
δυςμενέων, μηδέν σε χερειότερον φρεσὶν ᾗσι
στέργειν ἢ εἴ πέρ μοι ὑπὲκ νηδυιόφιν ἦλθες
καί μοι τηλυγέτη ἐνὶ δώμασι παρθένος ἦσθα.
οὐδ' αὐτήν γέ νυ πάμπαν ἔολπά σε τοῦτό γε λήθειν.
τῷ μή μ' ἐξείπῃς πότ' ἐμὸν θάλος, ὥς σευ ἀκηδέω,
μηδ' εἴ κ' ἠυκόμου Νιόβης πυκινώτερα κλαίω.
οὐδὲν γὰρ νεμεσητὸν ὑπὲρ τέκνου γοάασθαι
μητέρι δυςπαθέοντος· ἐπεὶ δέκα μῆνας ἔκαμνον
πρὶν ἤπέρ τ' ἰδέειν μιν, ἐμῷ ὑπὸ ἧπατ' ἔχουσα,

68. θαρσοίη· τοιῆσδ'] Herm. θάρσει· οὐ τοιῆσδ' vulg. οὐπιῆς δ' 18., in marg. τοιοῖσδε. — ἐπεκύρσαμεν] Herm. ἐκύρσαμεν c. ἐκυρήσαμεν vulg.
69. ὁρόω σὲ Iunt. ὀρόω σὲ r.
70. δέ τοι εἰμί 18. r. w. c. vulg.
71. ὅτι s. — ἐστίν c. ἐντί s. — Si verba ὅτε δὴ — ἐστί genuina sunt, in versu praecedenti vulgata scriptura vix recte se habet. Exspectatur potius tale quid ἀεὶ δέ τοι οὐκ ἐπέοικεν ἀσχ—. ἐπὶ γνώμην δέ τοι ἔστιν ἀσχ— scripsit Hart., quem nolim sequi.
72. ἐποδύρομαι s. — ἦδ' ἐλεαίρω statim post ἀσχαλάαν cum lacuna post ἐλ— (omissis ὅτε — ὀλο—) w.
73. οὔνεκεν r. οὔνεκ' w. — ἔχες w.
74. κάρη r. Ald.$^{\beta}$
75. εὐάνος c.
76. ἅς] s. Call. αἷς w. αἷς 18. r. c. Ald.$^{\beta}$ Iunt. αἴκε in marg. r. Idem supra αἷς: ἀφ' ὧν. — οὐκ pro ἑκὼν s. — ἐπίορκος c. Ald.$^{\beta}$ Call., cum puncto sub ς et superscr. ν r. ἐπίορχ^{o} 18. ἐπίορκ' s. — ὀμόσσαι] coni. Steph. ed. II. ὀμόσσῃ Mor. vulg. ὀμόσση s. w. c. ὀμόσσῃ 18. ὀμόσση r. Antt.
77. Pro δυσμενέων suspicatur Ahrens. μὴ μὲν ἐγὼ—. ἧσιν s. r.
78. ἤ s. — εἴ πέρ] s. w. εἴπερ vulg. — ὑπὲκ] ὑπ' ἐκ 18. s. r. w. c. vulg. Coniunctim qui primus scripserit, nescio. — νηδυιόφιν] Valck. νηδυόφιν 18. s. r. w. c. Antt. στέργειν μ' ἠέπερ εἴ μοι— Herm.
81. τῶ s. r. w. Call. — μή μ'] Ameis. μηδ' vulg. μὴδ' r. w. Iunt. Call. μήδ 18. s. c. Num μὴ δὴ per Synizesin? — πότ'] Meinek. in sec. edit. ποτ' s. τότ' w. c. τόγ' 18. r. vulg. τόδ' Hart. — ὡσ c. — σευ ἀκηδέω] Iunt. σ' οὐ κηδέω 18. σοὺ κηδέω c. σοῦ κηδεύω w. σευ ἀκήδω 18. (in marg.) s. r. Ald.$^{\beta}$ σευ ἀκύδω Call.
82. ἠυκόμοιο corr. a pr. in —ου s.
83. οὐθὲν 18. r. w. c. Antt. ante Mor. οὐδ' ὧς s. οὐ γὰρ θὴν Herm. e coni. Meinekii.
85. ἤπέρ τ'] Ahrens. καίπερ vulg. — ὑφ' ἧπατι εἴσω Ahrens. — ἔχουσα] s. ἔχοισα vulg. ἔχοισαν Iunt. καὶ πρίν πέρ τ' ἰδέειν μιν, ἐμῷ δ' ὑπὸ ἧπατι εἶχον Herm. πρίν περ καὶ

καί με πυλάρταο σχεδὸν ἤγαγεν Αἰδωνῆος·
ὧδέ ἕ δυςτοκέουσα κακὰς ὠδῖνας ἀνέτλην.
νῦν δέ μοι οἴχεται υἱὸς ἐπ' ἀλλοτρίης νέον ἆθλον
ἐκτελέων· οὐδ' οἶδα δυςάμμορος, εἴτέ μιν αὖτις
ἐνθάδε νοστήσανθ' ὑποδέξομαι, εἴτε καὶ οὐκί.
πρὸς δ' ἔτι μ' ἐπτοίησε διὰ γλυκὺν αἰνὸς ὄνειρος
ὕπνον· δειμαίνω δὲ παλίγκοτον ὄψιν ἰδοῦσα
ἐκπάγλως, μή μοί τι τέκνοις ἀποθύμιον ἕρπῃ.
εἴσατο γάρ μοι ἔχων μακέλην εὐεργέα χερσί
παῖς ἐμὸς ἀμφοτέρῃσι, βίη Ἡρακληείη·
τῇ μεγάλην ἐλάχαινε δεδεγμένος ὡς ἐπὶ μισθῷ
τάφρον τηλεθάοντος ἐπ' ἐσχατιῇ τινος ἀγροῦ,
γυμνὸς ἄτερ χλαίνης τε καὶ εὐμίτροιο χιτῶνος.
αὐτὰρ ἐπειδὴ παντὸς ἀφίκετο πρὸς τέλος ἔργου
καρτερὸν οἰνοφόροιο πονεύμενος ἕρκος ἀλωῆς,
ἤτοι ὁ λίστρον ἔμελλεν ἐπὶ προὔχοντος ἐρείσας
ἀνδήρου καταδῦναι, ἃ καὶ πάρος εἵματα ἕστο.
ἐξαπίνης δ' ἀνέλαμψεν ὑπὲρ καπέτοιο βαθείης
πῦρ ἄμοτον, περὶ δ' αὐτὸν ἀθέσφατος εἱλεῖτο φλόξ.
αὐτὰρ ὅγ' αἰὲν ὄπισθε θοοῖς ἀνεχάζετο ποσσίν,
ἐκφυγέειν μεμαὼς ὀλοὸν βέλος Ἡφαίστοιο·
αἰεὶ δὲ προπάροιθεν ἑοῦ χροὸς ἠύτε γέρρον

ἰδέειν μιν, ἐμῷ ὑπὸ κῆρι φέρουσα coni. Meinek.

86. *Αἰδωνῆος*] Ahrens. *ἀϊδωνῆος* s. *Ἀϊδονῆος* vulg. *ἀηδονῆος* w. c.

87. *ὧδε ἕ* c. — *δυστοκέουσα*] s. *δυστοκέσασα* vulg. *δυστοκεύσασα* w. — *ὠδίνας* w. Iunt. *ὠδύνας* c. — *ἀνέτλην*] s. *ἀνέτλαν* vulg.

88. *υἱὸς*] Valck. *οἷος* 18. s. w. c. *οἷος* r. Antt. *οὗτος* Herm. In s. videbatur mihi librarius *υι* correxisse in *οι*.

89. *δυσόμμορος* c. o corr. in α 18. — *εἴτέ*] Call. *εἴτε* vulg. — *αὖτις*] Iunt. *αὐτόν* 18. s. r. w. c. Ald. β. Call.

90. *προ* *δὲ* *τὶ* s.

93. *ἕρπῃ*] Herm. *ἕρδῃ* Schaefer. *ἕρδοι* c. Antt. *ἕρδοι* 18. s. r. w.

94. *εἴσατο*] s. Iunt. Call. *ἵστατο* 18. r. w. c. Ald. β. — *ἐνεργέα* c. — *χερσὶν* s. c.

95. *βία* w. — *ἡρακληείη* e corr. (videtur fuisse —*λειειη*) 18. *ἡρακληήη* w.

96. *τῇ, μεγ*— s. Call. — *ὡς* om. c.

97. *ἐσχατιῇ τινὸς* s. — *τίη τινὸς* c. *τινα* 18.

98. *ἄτερ*] s. *ἄνευ* 18. r. w. c. Antt.

99. *πάντως* c.

100. *οἰνοφόροιο*] s. *οἰνοπέδοιο* vulg. — *πήδοιο* w. c. — *πεπονεύμενος* c. — *ἀλωῆς*] Ameis. *ἀλωῆς* vulg. *ἀλωήν* w. et superscr. σ c. *ἀλωὴν* 18.

101. *ὁ*] c. — *ἔμελλεν* om. s. — *προὔχοντος* 18. s. r. c. vulg. — *ἀρείσας* (superscr. ε?) 18. *σπεῦδεν ἐρείσας* s.

102. *εἵματα* Iunt. *ἥματα* 18. Ald. β. — *ἕστο* c. Iunt.

104. *εἱλεῖται* 18. et superscr. ο c. *εἱλλεῖται* w.

106. *βέλος*] s. *μένος* vulg.

νώμασκεν μακέλην· περὶ δ' ὄμμασιν ἔνθα καὶ ἔνθα
πάπταινεν, μὴ δή μιν ἐπιφλέξει δήιον πῦρ.
τῷ μὲν ἀοσσῆσαι λελιημένος, ὥς μοι ἔικτο,
Ἰφικλέης μεγάθυμος ἐπ' οὔδεϊ κάππεσ' ὀλισθὼν
πρὶν ἐλθεῖν, οὐδ' ὀρθὸς ἀναστῆναι δύνατ' αὖτις,
ἀλλ' ἀστεμφὲς ἔκειτο, γέρων ὡςεί τ' ἀμενηνός,
ὅντε καὶ οὐκ ἐθέλοντα βιήσατο γῆρας ἀτερπές
καππεσέειν· κεῖται δ' ὄγ' ἐπὶ χθονὸς ἔμπεδον αὔτως,
εἰςόκέ τις χειρός μιν ἀνειρύσσῃ παριόντων
αἰδεσθεὶς ὄπιδα προτέρην πολιοῖο γενείου.
ὣς ἐν γῇ λελίαστο σακεςπάλος Ἰφικλείης·
αὐτὰρ ἐγὼ κλαίεσκον ἀμηχανέοντας ὁρῶσα
παῖδας ἐμούς, μέχρι δή μοι ἀπέσσυτο νήδυμος ὕπνος
ὀφθαλμῶν, ἠὼς δὲ παραυτίκα φαινόλις ἦλθε.
τοῖα φίλη μοι ὄνειρα διὰ φρένας ἐπτοίησαν
παννυχίῃ· τὰ δὲ πάντα πρὸς Εὐρυσθῆα τρέποιτο
οἴκου ἀφ' ἡμετέροιο, γένοιτο δὲ μάντις ἐκείνῳ
θυμὸς ἐμός, μηδ' ἄλλο παρὲκ τελέσειέ τι δαίμων.

Ϛ'.

Τὰν ἅλα τὰν γλαυκὰν ὅταν ὤνεμος ἀτρέμα βάλλῃ,

109. *ἐπιφλέξει*] Urs. *ἐπιφλέξῃ* s. c. Call. — *ξῃ* vulg.
112. *πρὶν*] s. w. *πρίν γ'* vulg. — *αὖθις* s.
113. *ἀμενοινὸς* (superscr. *η*, *ω*) c.
114. *βιήσατο*] s. Iunt. Call. *δηΐσατο* w. *δηΐσσατο* 18. r. c. Ald. β.
115. *καππεσέειν*] Iunt. *καππεσέ''* s., sed fort. a sec., *κάππεσε* a pr. *καππεσέ^{ειν}* a sec., *κάππεσε* a pr. r. *κάππεσε* w. Ald. β. *κάππεσεν* c. *κάππεισεν* Call. In 18. videbatur mihi *κάππεσεν* mutatum esse in *κάππεσε*. — *ὅδ'* a pr. correctum in *ὄγ'* 18. — *αὔτως*] Ameis. *αὖτως* s. *αὐτοῦ* vulg.
116. *εἰσόκέ τις*] Call. *εἰσοκέ τις* r. *εἰσόκε τίς* s. *εἰσόκε τὶς* Iunt. — *ἀνειρύσσῃ*] s. *ἀνειρύσῃ* vulg.
117. *τρομερὴν* Ahrens. *στυγερὴν* coni. Valck. *κρατερὴν* Fr. Iacobs.
118. *ὡς* r. — *σακεσπάλος*] s. *σακέσπαλος* vulg.
119. *ἀμηχανόωντας* s.
121. *φαινόλις ἦλθε*] Ahrens. e Parisino 2726. *φαίδιμος ἦλθε* w. c. Mor. *φαίδιμος ἦλθεν* 18. r. Antt. *φαίνετο δῖα* s.
122. *τοία* w. — *ἐποίησαν* a pr., *ἐπτ—* a sec. s.
123. *τάδε* s. r. w. Ald. β. *τὰδε* Call. — *πρέπ—* c. deleto *π* et superscr. *τ* 18.
125. *μηδ'*] Steph. *μὴδ'* 18. s. Iunt. *μὴ* r. w. c. Ald. β. Call. — *παρὲκ τελέσειε*] Meinek. *παρεκτ—* vulg. *πὰρ ἐκτ—* w.

V. Stob. Floril. LIX, 19. *Ἐκ τῶν μόσχου βουκολικῶν* Medic. Trinc., sine *ἐκ τῶν* Reg.

1. *ὤνεμος* Medic. Trinc. *ὤνεμος* Reg. — *βάλλῃ*] Steph. *βάλλοι* Reg. Medic. Trinc.

τὰν φρένα τὰν δειλὰν ἐρεθίζομαι, οὐδ' ἔτι μοι γᾶ
ἐστὶ φίλα, ποθίει δὲ πολὺ πλέον ἅ με γαλάνα.
ἀλλ' ὅταν ἀχήσῃ πολιὸς βυθός, ἁ δὲ θάλασσα
κυρτὸν ἐπαφρίζῃ, τὰ δὲ κύματα μακρὰ μεμήνῃ,
ἐς χθόνα παπταίνω καὶ δένδρεα, τὰν δ' ἅλα φεύγω,
γᾶ δέ μοι ἀσπαστά, χἀ δάσκιος εὔαδεν ὕλα,
ἔνθα καὶ ἢν πνεύσῃ πολὺς ὤνεμος ἁ πίτυς ᾄδει.
ἦ κακὸν ὁ γριπεὺς ζώει βίον, ᾧ δόμος ἁ ναῦς,
καὶ πόνος ἐστὶ θάλασσα, καὶ ἰχθύες ἁ πλάνος ἄγρα.
αὐτὰρ ἐμοὶ γλυκὺς ὕπνος ὑπὸ πλατάνῳ βαθυφύλλῳ,
καὶ παγᾶς φιλέοιμι τὸν ἐγγύθεν ἆχον ἀκούειν,
ἃ τέρπει ψοφέοισα τὸν ἀγρικόν, οὐχὶ ταράσσει.

ϛʹ.

Ἤρατο Πὰν Ἀχῶς τᾶς γείτονος, ἤρατο δ' Ἀχώ
σκιρτητᾶ Σατύρω, Σάτυρος δ' ἐπεμήνατο Λύδᾳ.
ὡς Ἀχὼ τὸν Πᾶνα, τόσον Σάτυρος φλέγεν Ἀχώ,
καὶ Λύδα Σατυρίσκον· Ἔρως δ' ἐσμύχετ' ἀμοιβά.
ὅσσον γὰρ τήνων τις ἐμίσεε τὸν φιλέοντα,

2. *οὐδ' ἔτι*] coni. Gesner. *οὐδέ τι* vulg. — *μοι γᾶ*] Sim. Bosius. *μοῖσα* vulg.

3. *ἐστὶ*] Herm. *ἐντὶ* vulg. — *ποθίει*] O. Schneider et Ameis. *ποθίῃ* Medic. *ποθίῃ* Trinc. *ποθέω* Reg. *ποθέει* Gesn. *ποτάγει* Steph. — *πλέον ἅ με γαλάνα*] Teucher. *πλέον ἅμμε γαλάνα* Steph. *πλέονα μεγάλαν ἅλα* Medic. Trinc. *πλείονα τὰν ἅλα μώσης* Reg. *ποθινὸν δὲ πολὺ πλεῖον μέγα λαῖτμα* Herm. *ποθέω δὲ* — Meinek.

4. *ὅτ' ἀναχήσῃ* Medic. Trinc.

6. *παπταίνων* Medic. Trinc., quo recepto Herm. scripsit *καὶ δένδρεα τὰν ἅλα φ.*

7. *ἁ πιστὰ* Reg. Medic. Trinc. — *χἀ*] coni. Steph. in ed. II. *τάχα* Reg. Medic. Trinc. — *δάσκιος*] Gesn. vulg. *δ' ἄσκιος* Medic. Trinc. *δ' εὔσκιος* Reg.

8. *ὠνεμος* Medic. Trinc. *ἄνεμος* superscr. a sec. *ῶ* Reg.

10. *ἐστὶ*] Herm. *ἐντὶ* vulg. — *ἰχθύες*] Teucher. *ἰχθῦς* Reg. Medic. Trinc. *ἰχθὺς* vulg. — *ἁ πλάνος*] Reg. *ἀπλανῶς* Medic. Trinc.

11. *αὐτὰρ* in Medic. rubrica scriptum est ut primus vs. — *πλατάνῳ βαθυφύλλῳ*] Venet. Reg. Trinc. — *ω* bis Medic.

12. *ἆχον*] Brunck. *ἦχον* vulg.

13. *ἃ τέρπει*] Reg. *ἀτερπῆ* Medic. Trinc. Gesner., cum aster. et in marg. *ἃ τερπνὸν*. — *ἀγρικόν*] Meinek. *ἄγρικον* Steph. *ἄγροικον* Urs. *ἀγροῖκον* Reg. *ἀγροῖκ'* Medic. Trinc. *ἄγριον* Grot. *ἀγχόθι κοὐχὶ* Herm.

VI. Ibid. LXIII, 29. *Ἐκ τῶν μόσχου τοῦ σικελοῦ βουκολικῶν* Medic. Trinc. *Μόσχου* Reg.

1. *ἤρατο*] coni. Wakefield. *ἦρα* vulg. — *πᾶν* Medic. Trinc. — *ἠρᾶτο* Reg. Medic. Trinc.

2. *σκιρτητᾶ*] Medic. Steph. *σκιρτητᾷ* Reg. *σκιρτατᾶ* Ameis. Ahrens. *σκιρτᾶ* Trinc. — *σατύρω* Reg. — *Λύδᾳ*] Reg. Heins. *Λύδαν* Medic. Trinc.

3. *Ἀχώ* in f. v.] Reg. Urs. *Ἀχῶ* vulg.

4. *ἀμοιβά*] Herm. *ἀμοιβᾷ* vulg. — *βᾶ* Medic. Trinc.

τόσσον ὁμῶς φιλέων ἠχθαίρετο, πάσχε δ' ἃ ποίει.
ταῦτα λέγω πᾶσιν τὰ διδάγματα τοῖς ἀνεράστοις·
στέργετε τοὺς φιλέοντας, ἵν' ἢν φιλέητε φιλῆσθε.

Ζ'.

'Αλφειὸς μετὰ Πῖσαν ἐπὴν κατὰ πόντον ὁδεύῃ,
ἔρχεται εἰς 'Αρέθοισαν ἄγων κοτινηφόρον ὕδωρ,
ἕδνα φέρων καλὰ φύλλα καὶ ἄνθεα καὶ κόνιν ἱράν·
καὶ βαθὺς ἐμβαίνει τοῖς κύμασι, τὰν δὲ θάλασσαν
νέρθεν ὑποτροχάει, κοὐ μίγνυται ὕδασιν ὕδωρ,
ἁ δ' οὐκ οἶδε θάλασσα διερχομένω ποταμοῖο.
κῶρος δεινοθέτας κακομήχανος αἰνὰ διδάσκων
καὶ ποταμὸν διὰ φίλτρον Ἔρως ἐδίδαξε κολυμβῆν.

Η'.

Λαμπάδα θεὶς καὶ τόξα βοηλάτιν εἵλετο ῥάβδον
οὖλος Ἔρως, πήρην δ' εἶχε κατωμαδίην,
καὶ ζεύξας ταλαεργὸν ὑπὸ ζυγὸν αὐχένα ταύρων
ἔσπειρεν Δηοῦς αὔλακα πυροφόρον.
εἶπε δ' ἄνω βλέψας αὐτῷ Διί· πλῆσον ἀρούρας,
μή σε τὸν Εὐρώπης βοῦν ὑπ' ἄροτρα βάλω.

6. *ἠχθαίρετο, πάσχε*] Gesn. *ἐχθαίρετο, πάσχε* Steph. *ἔχθαιρε δόπαὄχε·* Medic. *ἔχθαιρε δοπασκε·* (deletis a sec. punctis) Venet. *ἔχθαιρε δόπασκε* Trinc. *ἔχθαιρεν ἔπασχε* Reg. — *δ' ἃ ποίει*] *δ' ἃ ποίῃ* superscr. a sec. *ει* Reg. *δἄποίναν* Medic. *δαποίναν* a pr., *δ' ἀποίνα* a sec. Venet., posterius etiam Trinc. *δ' ἄποινα* Gesn.
7. *πᾶσιν*] Steph. *πᾶσι* vulg.

VII. Ibid. LXIV, 19. *'Εκ τοῦ μόσχου τοῦ σικελικοῦ* Medic. Trinc. *Μόσχου* Reg.
1. *Πῖσαν*] Reg. Grot. *Πίσαν* Steph. *πίσσαν* Medic. Trinc.
2. *ἀρέθουσαν* Reg.
3. *ἕδνα*] Steph. vulg. *ἔδνα* Reg. Medic. Trinc.
4. *ὕδασιν* (deleto *ν*) Reg. — *τὰν δὲ*] Reg. *τὴν δὲ* Medic. Trinc.
6. *ἃδ'* Reg. — *διερχομένω*] Ameis. —*ῳ* Reg. —*ου* vulg.
7. *δειλοθέτας* Ahrens. *δεινὸς δ' ἀθλοθέτας* Herm. *κῶρος ἀγωνοθέτας* coni. Hemsterhus. — *κακομήχανος*] Reg. — *μάχανος* vulg.
8. *κολυμβᾶν* Reg.

VIII. Anthol. Planud. IV, 200., praeterea Anthol. Paris. (nr. 352.) — *Μόσχου εἰς Ἔρωτα ἀροτριῶντα* vulg.
5. *πῖσον* Ahrens. „Unice verum est *πλῆσον*, fecunda agros.“ Meinek.

ADDENDA.

Ad Mosch. III, 96. — Musuri versus sunt hi:

πάντες ὅσοις καπυρὸν τελέθει στόμα βωκολιασταί
ἐκ μοισᾶν σέο πότμον ἀνακλαίουσι θανόντος.
κλαίει Σικελίδας τὸ Σάμου κλέος· ἐν δὲ Κύδωσιν
ὁ πρὶν μειδιόωντι σὺν ὄμματι φαιδρὸς ἰδέσθαι
δάκρυα νῦν Λυκίδας κλαίων χέει· ἔν τε πολίταις
Τριοπίδαις ποταμῷ θρηνεῖ παρ' Ἄλεντι Φιλητᾶς.

CORRIGENDA.

Theocritus:

in textu V, 133 leg. *ὅκα οἱ.*
VII, 46 volebam *καὶ δρύες*, alioqui non tacuissem in annotatione.
in notis II, 147 del.] post *σήμερον.*
VI, 8 leg. *ποθ' ὀρῆσθα* p. k. Call.
X, 38 habet Call. *ἄμμε*, non *ἄμμι.*
XXV, 48 leg. *γεραίτερος* Iunt. Call.

Moschus:

in notis II, 74 leg. In f. leguntur.